NOVAE PATRUM BIBLIOTHECAE

AB

ANG. CARD. MAIO COLLECTAE

TOMUS DECIMUS

EDITUS

A IOSEPHO COZZA-LUZI

S. R. E. VICE-BIBLIOTHECARIO

COMPLECTENS

IN PARTE I. ORATORIA


SERMONES S. THEODORI STUDITAE, GEORGII NICOMEDIENSIS, S. IOAN. CHRYSOSTOMI
B. MARCI MONACHI, MICHAËLIS PSELLI IUN. ET GEORGII METOCHITAE

IN PARTE II. LITURGICA

S. GERMANI PATR. C. P. HISTORIAM MYSTICAM ANASTASIO BIBLIOTH. INTERPRETE
LITURGIAM ANTIOCHENAM, TYPICUM MESSANENSE ET CASULANUM
HYMNOS IN SS. BASILIUM M. ET NILUM IUNIOREM
FUNDATOREM ABBATIAE CRYPTOFERRATENSIS

IN PARTE III. BIBLICA

PROPHETIAS EZECHIELIS, BARUCH ET IEREMIAE



ROMAE
E BIBLIOTHECA VATICANA
TYPISQUE VATICANIS

M.CM.V

ΓΕΩΡΓΙΟΥ

ΤΟΥ ΔΙΑΚΟΝΟΥ ΚΑΙ ΜΕΤΟΧΙΤΟΥ

ΛΟΓΟΣ Γʹ.

ΔΙΑΛΑΜΒΑΝΩΝ ΤΑ ΚΑΤΟΠΙΝ ΤΩΝ ΠΡΟΡΡΗΘΕΝΤΩΝ ΔΥΟ ΛΟΓΩΝ ΑΥΤῌ ΥΠΟΘΕΣΕΙ ΛΕΧΘΕΝΤΑ ΤΕ ΚΑΙ ΠΡΑΧΘΕΝΤΑ

Αʹ.

Ην ἡμῖν ἄρα προτεθειμένον τοῦ κατὰ σκοπὸν ὡς ἑνὸν ἐκτερματωθέντος ἐπὶ τοῖς τῇ ἐκκλησιαστικῇ πραγματείᾳ παρακολουθηκόσι λόγων ἀμφοτέρων ἐκθέσεσιν, οὓς ἐξόριστοι γεγονότες, ἐν ᾧ φρουρίῳ καθείρχθημεν, συντεθείκαμεν, τοῦ λοιποῦ τῆς πρὸς τὸ γράφειν ἐγχειρήσεως, τούτοις ὡς ἀρκεσθεῖσι ἀφέξεσθαι· ἄλλως δ' ἀεθλεύειν καὶ φέρειν τὰ τῶν ἀπηρειῶν τῶν ἐκεῖσε φρουρῶν καὶ καθείρξεων· ἦν ἡμῖν οὕτω τὰ τῆς προθέσεως. Ἐπεὶ δὲ ῥέων ὁ χρόνος μετὰ τούτου παραῤῥοὴν οὐκ ὀλίγην φθάνει τι παρ' ἐλπίδας εἰς τοὐμφανὲς θεῖναι, καὶ τῶν ὧν ἡμεῖς παῤῥησιασάμενοι τῶν ἀπεναντίας πρὸς ἔλεγχον ἀντιπαρεθήκαμεν, οὐ δεῖν ᾠήθημεν μὴ καὶ τὰ περὶ τοῦδε γραφῇ, καθόσον οἷόν τε δοῦναι, σκοποῦ τοῦ προλεχθέντος μετατεθέντες· εἰ καὶ τὰ τῆς ἐπιθέσεως, καὶ τὰ τῆς σφοδρότητος τὰ αὐτὰ καθ' ἡμῶν καὶ πάλιν στεργόντων καὶ τοῖς αὐτοῖς οὐχ ἧττον εἰς καταδίκην καὶ αὖ περιστοιχιζόμεθα. τῷ τοι καὶ νῦν ἐκεῖσε δεόντως ἀναδραμόντες, τοῖς ἀντιδιατεθειμένοις, ὅθεν ἡμῖν ἐπῆλθε σπουδῇ πάσῃ τομογραφεῖσαι, καὶ τὰ τῆς νεοφανοῦς αἱρέσεως κατεπειχθῆναι συστήσασθαι, τὴν ἀρχὴν ἐντεῦθεν τῶν λεγομένων ποιήσομεν.

Βʹ.

Πάλη μὲν οὖν ἐκείνη καὶ λογικῆς ἁμίλλης αἱ προσβολαί, πάντες ὡς ἴσασι ἀτεχνῶς, τοῖς ἀνακτόροις ἐκροτοῦντο συστάδην, καὶ καρτερῶς· καὶ οἱ μέν, οἱ τῶν ἀντιφερομένων φημί, πρὸς τῇ δυναστείᾳ καὶ τῇ τοῦ λέγειν ἀδείᾳ, καὶ ῥοπῇ πλήθους καὶ προλήψει τεθαῤῥηκότες, παντοίως ἐφέροντο καθ' ἡμῶν, ἀπαιτοῦντες, ὁροθετοῦντες, ἐπιτάττοντες κυριαρχικῶς, ἀπολογεῖσθαι μόνον ἡμᾶς ἐπ' ἀδείας ἔχειν, καὶ μέχρι τοσοῦδε καὶ ἐφ' ἅπερ αὐτοῖς βουλητόν. Ἡμεῖς δὲ καὶ οἴκοθεν πρὸς τοῦτ' αὐτὸ παρασκευασάμενοι, καὶ ἣν εἴχομεν μεθ' ὕστερον τράνωσιν παραστῆσαι, τῶν ἐγγράφως τε καὶ ἀγράφως καινοφωνηθέντων σφίσι, τῆς ἀνάγκης οὕτω κατεπειγούσης μεθέντες, τῶν ἀπολογιῶν ἑαυτοὺς εἶναι καὶ μόνων, ταῖς ἐπὶ τοῦ μέσου διαλέξεσιν ὑπεθήκαμεν· ἀμέλει τοι χρήσεων παρ' ἡμῶν ἐκτάδην τῶν πατρικῶν, αἷς ἡμῖν τὰ πρὸς σύστασιν ἀριδήλως, ἐφ' οἷς ἠτιώμεθα, μαρμαρυγῶν δίκην ἡλιακῶν ἀπηστράπτετο παρατιθεμένων. Οὗτοι μήδ' ἂν εἴτε καὶ γένοιτο παρήσειν τὴν καθ' ἡμῶν ἐκπλῆσαι κακίαν, ἀνεχόμενοι τὸ παράπαν, ἃς μὲν ἠδύναντο τῶνδε δοκήσει φάσκειν, οὐκ ἀληθείᾳ, μὴ πρὸς ἡμῶν εἶναι φανερῶς, ἀπεπέμ-

ποντο· ἃς δὲ καὶ κρότοις ἤχων περιτρέποντες ἄλλως, ἀπεσκευάζοντο, καὶ λοιπὰς ἑτέρως συνέχεον· ἐπὶ δέ γε τῶν οἷς μηδαμῶς τοιουτώδους τρόπου παρείσδυσις, μηδὲ μέχρι φαντασίας αὐτῆς κατά τε προφορὰν λέξεων καὶ διάνοιαν, νομοθετοῦντες ὅσα καὶ διορθωταὶ τῶν θεολογικῶν ἀξιωμάτων καὶ παραδόσεων ἀπηρυθρίων εἰς ὀρθὴν σημασίαν ἄγειν ταύτας διαταττόμενοι, ὧν ἐφόσον προήχθη τὰ τῆς μανίας ὁ ἡμέτερος ἀρχιθύτης ἐπεὶ καθίδοι διερεθίζεται μετ' ἐπιεικίας, μέσον τῶν πρὸς αὐτοὺς διαλογικῶν ἀγώνων, φᾶναι κατ' ἔπος οὕτω περιπαθῶς· προσέχετε πρὸς αὐτῆς ἀγάπης τῆς τοῦ θεοῦ, μὴ κακίας τῆς καθ' ἡμῶν ἕνεκεν, αἵρεσιν ἀρτιφατῆ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ φυτεύσητε. Ἀλλ' οἱ τοιοῦτοι τρόπον κωφῆς ἀσπίδος, βυούσης αὐτῆς τὰ ὦτα, φωναῖς ἐπᾳδόντων πρὸς ταῦτα διατεθέντες ἑνὸς εἴχοντο μόνου τοῦ περατῶσαι τὸ ἑνὸν αὐτοῖς καταθύμιον· ὃ καὶ περάναντες τάχος ὅσον, καὶ τὴν καθ' ἡμῶν τομογραφίαν ὑφάναντες, δρῶσιν ὅσον ἀφίεντο. Πλὴν τὰ τοῦδε πλατύτερον τῷ προτέρῳ τῶν ἡμετέρων λόγων διαλαβόντες, εἰ καὶ μήδ' οὕτως οὐμενοῦν ἐντελέστερον, καὶ τοῦ προκειμένου πρὸς ὅπερ ἀπευθύνεται προϋποκρουσθέντος ἀμυδράττα παραδηλῶσαι τῶν ἐναπολειφθέντων ἐκείνῳ δεῖν νῦν ἥγημαι, θαυμασίως ὡδὶ συμβεβηκότα καὶ καθορώμενα.

Γ'.

Τῆς πανδήμου καθ' ἡμῶν ἐκείνης ἐπιτελεσθείσης ἀθροίσεως, ἐκ σφοδρᾶς τῶν ἀθροισάντων καὶ συντονωτάτης ὠθήσεως, μετὰ τὸ περιαιρεθῆναι κατεπείξει τὰ τῶν δικαστηρίων ὁλοσχερεῖ, καὶ ἀρκταῖς ἡμᾶς ἐνασφαλισθῆναι καὶ φύλαξι, Κύπριος ὁ τῶν ἀντικαθισταμένων ἡμῖν κορυφαῖος σχεδιασθείς, καὶ τυραννικῶς παρὰ τοῦτο θρόνον ὑφαρπάσας τὸν πατριαρχικόν, ἐν τῷ μέλλειν ἀναγνωσθῆναι τὰ τῆς καθ' ἡμῶν αὐτῷ συντεθείσης ἀποκηρύξεως· ἐπείπερ ἀνάγκην ἔσχε δημηγορῆσαι τῶν συνεληλυθότων ἐν ὑπηκόῳ, καὶ πλατεῖαν κενῶσαι κατάρρησιν, πρὸς τοῖς ἄλλοις λέξαι παραθαρρύνεται· διαπεφήμισται πρὸς ἡμᾶς νενικηκέναι τὸν Βέκκον ἐν τοῖς προβᾶσι συνεδρίοις καὶ ταῖς ἐν αὐτοῖς λογικαῖς προταθείσαις ζητήσεσι, τὸν ἐνθέσμως λαχόντα πατριαρχεύειν ἔνθεν καλῶν, εἶτα καθεξῆς παρενείρων. Παρὰ τοσοῦτον οὖν αὐτῷ τὸ νικᾶν ὑπῆρξε, παρόσον ἐρωτώμενον παρ' ἡμῶν, ἵνα τι τὸν ἡμῶν ἀμπελῶνα ὑφείλου, στενοχωρούμενον ἀποκρίνεσθαι. - Ὡς οὐδαμῶς τὸ ὑμῶν ἀφειλόμην χωράφιον. - Καὶ ταῦτα μὲν ὁ τερατολόγος οὗτος, δεικνύναι σπεύδων τὸν ἀληθῆ ποιμενάρχην μὴ τὸ παράπαν ἔχειν ἀπολογεῖσθαι· κἀντεῦθεν τῶν ἐπὶ τοῦ μέσου προβαλλομένων ὡσεί τινα τῶν νοῒ μηδόλως διοικουμένων ἔξω φερόμενον· ἀλλ' ὅπως καὶ πρὸς τοῦτο πράγμασιν ἐναργέσιν αὐτὸς εἴη συναπαχθείς· ἅτε μηδενὸς ὄντος τῶν ψευδῶς ἡμῖν εἰς κατηγορίαν παρ' αὐτοῦ προσεπιτριβέντων, ὃ μὴ καθαρῶς ἐφηρμόσθαι τούτῳ καὶ πρὸς ἀλήθειαν ἀποδέδεικται, τοῦ λόγου προϊόντως φανήσεται. Ὡς δ' οὖν τὰ τῆς ἐκφωνήσεως τοῦ τόμου κατὰ τὸ δοκοῦν αὐτῷ θείη πάντα, τά τε πρὸ αὐτῆς καὶ τὰ ἐν αὐτῇ· σεισμὸς οἷς περ ἄλλος, ἢ γῆς ἀνατιναγμός τις καὶ κλόνος ἐπενηνέχθαι νενόμισται, τῷ πολυειδεῖ θορύβῳ καὶ ταράχῳ, τῷ ἐκ τοῦ δημώδους καὶ μᾶλλον πλήθους καὶ σύρφακος καὶ πρὸς τὰ μετ' αὐτὴν ἤδη χωρήσειεν· ὥστε συνελάσαι πάντας ἁπαξαπλῶς, οἰκείαις ὑπογραφαῖς συνθέσθαι τοῖς καθ' ἡμῶν αὐτῷ καινοφωνηθεῖσι παντοίῳ θάρρει πεφυσσημένῳ· καὶ προσέτι τῇ ἐκ τῶν ἀρχείων ἀσχέτῳ φορᾷ, καὶ τοῖς ἐκεῖθεν ἐπιτεταμένοις εἰς τοῦτο κελεύσμασι καὶ σπουδάσμασιν.

Δ'.

Εὑρίσκει τι παρὰ προσδοκίαν, ὅμως ἐνταῦθα καὶ πρόσαντες, τοῦ πλείστου μέρους τῶν τῆς ἐκκλησίας λογάδων ἀποδιαστάντος, συμβῆναι τοῖσδε καὶ καθυποκύψαι παντάπασιν· οὓς ἐπεὶ

μετέλθοι ποικιλοτρόπως, τὸ μὲν κολακείαις σαίνων καὶ ὑποσχέσεσι, τὸ δὲ καὶ ἀπειλαῖς βαρείαις ἐκδειματῶν, ἀλλὰ καὶ δεινῶν αὐτοῖς πείρᾳ προσβάλλων καὶ μὴ δυνηθείη καθυπακούοντας τῇ σφετέρᾳ κακίᾳ λαβεῖν, ἐπιτίθεται. καὶ πάλιν ἑτέρως ἡμῖν· οὓς ἀφανίᾳ βαθείᾳ καὶ φρουρᾷ τηλικαύτῃ τυγχάνει παραπεμψάμενος καὶ σταλῆναι πρὸς τοῦ βασιλείου κράτους παρασκευάζει, τόν τε τηνικαῦτα πρωτονοτάριον, ἄνδρα τῶν ἐλλογίμων, καὶ λοιποὺς ὡσαύτως τῆς ἀνακτορικῆς ἑστίας, κατοπτεύσοντας ὁμοῦ καὶ διερευνήσοντας, εἴ που γραφαὶ τῶν μὴ σφίσι συνερχομένων παρ' ἡμῖν εἶεν, ἢ πρὸς αὐτοὺς ὅλως ἡμέτεραι, τῶν ἀνυποστάτων ὅπερ ὑπολήψεων καθειστήκει. Παῤῥησίᾳ γὰρ ἦμεν λαλοῦντες, καὶ οὐδὲν τὸ σύνολον ἐν κρυπτῷ, τῶν ἀνθρωπίνων ὅσα μηδεμιᾷ συγκροτήσεων ἔχοντες πεποιθέναι, ὅτι μὴ τοῖς καθαρῶς ἐμπνευσθεῖσι θεόθεν πατρικοῖς μόνοις ῥήμασιν καὶ διδάγμασι. Τέως οὖν ὡς ἥκοιεν οἱ διαληφθέντες, ὧν μὲν ὑπενόουν, εὗρον οὐδέν, ἄλλοις δὲ ἐντυγχάνουσιν ὡς ἐπίπαν σπουδαιοτέροις. Ἅμα γὰρ σφῶν τῇ ἐπιδημίᾳ τοὺς ἐλέγχους τῶν ἐμπεριειλημμένων τῷ τόμῳ βλασφημιῶν, οὓς προφθάσας ὁ ἡμέτερος ἱεράρχης ἐκτίθησι, τούτοις ἐγχειρίζει, καὶ λόγους προβάλλεται δυσωπητικοὺς ἀῤῥεπέσι δικαστηρίοις ταῦτα βασανισθῆναι καὶ σκέψεσι ἰθυτενέσι δοκιμασθῆναι, καὶ μὴ προφάσει τοῦ καθ' ὧν δήμοις καὶ λαοῖς φίλον λέγειν, νεοσύστατον οὕτω δόξαν, τῶν κειμένων ἀλλοτριόφρονα, παραχωρηθῆναι παῤῥησιάζεσθαι. Οἱ καὶ ὡς εἶδον ὡς ἤκουσαν τεθηπότες ὅπως ἡμῖν εἰς χεῖρας ἔλθοι, θάμβος ὅπερ ἦν ἀληθῶς· πόθεν γὰρ ἀλλαχόθεν γενέσθαι τοῦτο δοίη τις ὅλως, ὅτι μὴ θεόθεν αὐτόχρημα, μετὰ τὸ θεῖναι τὴν ἐνταλθεῖσαν ψηλάφησιν, ἀπαλλάττονται;

Ε'.

Τοῦ λοιποῦ δὲ ἡμεῖς ἐκδεχόμενοι καθεστήκαμεν· τῶν σταλέντων πρὸς τοὺς στείλαντας ἐπανακαμψάντων, ἀνάγκη συνελαθέντας αὐτοὺς δῆτα τοὺς πεπομφότας, συσκευάσασθαί τινα συνδρομὴν τῶν ἐξαιρέτως οἰκείων· καὶ κατὰ πᾶν ἑπομένων σφίσι, πρὸς δόκησιν ἐξετάσεως, ὡς μὴ νομισθῆναι προδήλως ἐλέγχους οὕτω καταφανεῖς καταδέξασθαι. Καὶ τὸ πόσως τοῦτο προβῆναι, καθ' ὁποίους δή τινας τρόπους τῆς αὐτῶν βουλῆς καὶ δυνάμεως, ἀσπαστὸν ἡγούμεθα καὶ ἐράσμιον. Ἀλλ' οἱ τοιοῦτοι, πλείστων ἐφ' ἡμερῶν παρατάσει, συχναῖς μελέταις δόντες ἑαυτούς, καὶ συννοίαις· ἐπεὶ πρὸς τῷ μηδοποσοῦν τινι σφῶν ἀρεσθῆναι, πασῶν τέλεον ἐξεκρούσθησαν, οὐχ ὅπως τῶν κατὰ νόμον εἰς βάσανον κριτηρίων, ἀλλὰ καὶ τῶν ἑτέρως ἐχόντων, ἢ μᾶλλον τῶν σφετέρων ἀποδιΐστανται. Καὶ οὐδὲ γρύξαι τὸ παράπαν, κἂν ἐγγράφως πρὸς λαμπρὸν οὕτω θρίαμβον γεγραμμένον τῆς αὐτῶν ἀλλοκότου διανοίας ἐν τοῖς περὶ θεοῦ δόγμασιν ἠδυνήθησαν· πλὴν ἄλλως ἐμφῆναι τοῖς ἔξωθεν μηχανῶνται, ὡς πρὸς ἀπολογίας ἐγγράφους ἐχώρησαν, καὶ τοιουτοτρόπως. ἐνταῦθα δή μοι πρὸ βραχέος· οὗπερ ὑπεσχόμην τὸ σκοπιμώτατον, τὰ περὶ τοῦδε τιθέασι. Μουζαλὼν ὁ μέγας τῷ Κυπρίῳ καὶ συσπούδαστὴς καὶ συνέριθος, ὁ καὶ Βοΐλας κλήσεως ἐξ ἑτέρας, ἐκ σειρᾶς ὅσα καθεστηκὼς ἀμφοτέρων γενῶν, ἑκάτερον τοὐπώνυμον κεκτημένων καὶ περιβοήτων, ἐπὶ γνώμης ἱλαρότητι καὶ χρηστότητι· φθάνει πρὸ καιροῦ λογικὴν ἀντίῤῥησιν ἐπιπλέξαι, πρὸς πόνημα θεολογικῆς ἀσφαλείας ἐξηρτημένον, ὁ Βλεμμίδης ἐκεῖνος ὁ τοῖς καθ' ἡμᾶς χρόνοις πάντων τῶν ἐπὶ σοφίᾳ καὶ φιλαρέτῳ πολιτείᾳ διαπρεψάντων, ἐκ κοινῆς ἁρμοζόντως εἰπεῖν ἐννοίας, ἔξοχος ἀναφανθείς, ἀνὴρ καὶ οὐράνιος, ὑπὲρ τῆς μετὰ τῶν Ῥωμαίων δεούσης γεγονέναι συμβάσεως συνεγράψατο. Ταύτην δὴ τὴν ἀντιλογίαν Κύπριος καὶ οἱ τῶν προκρίτων τοῦδε τῆς συμμορίας μετὰ τοῦ συνθεμένου τοῖς ἀνακτόροις κραταιωθέντος, εἴπερ τινός, ἐν αὐτοῖς ὁτεδήποτε δυναστείαν ἀπαράμιλλον ἐσχηκότων· ἐκεῖσε τὰ καθ' ἡμῶν πάντα καὶ βουλευόμενοι καὶ διαπραττόμενοι, πρὸς ἀπολογίαν καὶ κατ' ἔπος ἀντικα-

τάστασιν τῶν ἐξ ἡμῶν σφίσιν ἐγχειρισθέντων ἀνταποστέλλουσι· καὶ ὁ διακομιστὴς αὐτὸς ἐκεῖνος καὶ αὖ ὁ πρωτονοτάριος. Ην ὡς εἰλήφαμεν ἀνὰ χεῖρας, καὶ διερχόμενοι κατὰ λέξιν, οὐδὲν εὑρεῖν εἴχομεν, ταύτῃ πρὸς ἡμᾶς ὅλως ἀποτεινόμενον, ἤ τινα τῶν αὐτοῖς ἐγκληθέντων βλασφήμων ἀποτροπὴν ἐκτιθεῖσαν. ἢ τούτοις ἐπαγωνιζομένην τρόπον ἕτερον ὁπωσδήποτε· πρὸς ἄλλα δ' ἀφορῶσαν καὶ ἄλλῃ πῃ φερομένην· εἰ κἀκείνοις ὑπόθεσις ἡ αὐτὴ, κατάκρως ἀπορίᾳ συνεσχέθημεν ἐπὶ πλεῖστον, καὶ μόλις ἡμῖν ἐξ ὧν ἐπιστατικώτερον ἔτι προϊόντες ἀνέγνωμεν, ἀμυδροῦ τινος ἐμπεσόντος γνωρίσματος, ὡς ἐφεξῆς τοῦ θειοτάτου πρὸς ἅπαν ἀνδρὸς ἐκείνου σεβασμίᾳ γραφῇ παρ' ἑαυτοῖς τήνδε ἔχοντες προσεσχήκαμεν. Επῆλθε θαυμᾶσαι, πῶς πρὸς τοῖς ἄλλοις τοῖς ψευδῶς παρὰ τῶν ἀντικειμένων ἡμῖν ἐπικηρυχθεῖσιν, ἀψευδῶς δὲ σφίσιν ἀποδειχθεῖσι, ἠληθευκέναι καὶ τοῦτο κατ' αὐτῶν πεφανέρωται· τὸ, ἄλλα ἐπ' ἄλλοις οἷς παρ' ἡμῶν ᾐτιάθησαν φθέγγεσθαι, καὶ πρὸς ἄλλα ἔτι γε μὴν τὸ παραδοξότερον. ὡς ἐντεῦθεν μὴ ἀπεμφαίνειν ἀμπελῶνος ἐπ' ἀπαιτήσει, μὴ ὑφελέσθαι χωράφιον ἀποκρίνεσθαι, καθὼς ἀνωτέρω παραστήσειν διηγορεύκαμεν.

ϛ'.

Αλλ' οὕτω μὲν καὶ τούτου προβάντος, οὐδὲ τὴν λεπτοτάτην ταύτην αὐτῶν ἐπιχείρησιν ὁ χαριτώνυμος ἡμῶν ἀρχιποίμην Ιωάννης τῶν δεόντων κρίνει παραδραμεῖν· ἀλλ' ἐκπομπεύει κἀνταῦθα τὴν σφῶν ἀλόγιστον γνώμην, καὶ τὸ ὡς ἐπίπαν ἔκπτωτον καὶ ἀπόβλητον φρόνημα τοῦ ὀρθοῦ. Καὶ πρῶτα μὲν διαπρυσίοις γραφαῖς τὸ τοῦ ἀνδρὸς ὑπερεξῃρημένον ἀνακηρύττει, πρὸς ὃν ὑπῆρξε τοῖσδε τὸ ἀντιπεῖν. Καὶ ὡς εἰ τοῖς ζῶσιν ἐτύγχανεν ἐναρίθμιος, ἀξίως ἂν τοῦ ὕψους τῆς αὐτοῦ διανοίας καὶ θεωρίας, τὰ τῆς αὐτοῦ συγγραφῆς δεικνύων. ὅπως ἐξέχονται τῆς τῶν παραδεδομένων εὐθύτητος, τὸ τῆς τούτων γλωσσαλγίας ἀπήλεγξεν ἔκτοπον. Μετέπειτα δὲ διαγγέλλει, τῆς ἀληθείας ὅμως, ἐπείπερ ὧδε περιουσία πολλὴ, ταύτῃ καὶ ἡμεῖς εὐποροῦντες, τὸν ὑπὲρ αὐτῆς ἀπόλογον ποιησόμεθα· καὶ παραυτίκα παρίστησιν, ὅπως ὁ μὲν θαυμαστὸς ἐκεῖνος ἄνθρωπος τοῦ θεοῦ συστάσεσι αὐτοπίστοις ἐπὶ τοῖς οἰκείοις κατοχυροῦται τοῖς κειμένοις ἐπὶ θεολογίᾳ θεσμοῖς, καὶ πατρικοῖς κανόσιν ἡδραιωμένος. Οὗτοι δὲ φιλαπεχθείᾳ τῇ πρὸς ἡμᾶς καὶ πρὸς τόνδε μανιωδῶς ἀντερίσαντες, ἡλίκον εἰς βόθυνον ἑαυτοὺς κατεκρήμνησαν, τοῖς θεοφορήτοις ἀκρατῶς ἐναντιωθέντες καὶ μηδοποσοῦν φεισάμενοι μηδενὸς, μὴ λόγου, μὴ ῥήματος, οἷς περίβλεπτον τὸ ἀντίῤῥοπον. Εστιν οὖ γὰρ καταστρωννὺς ἀποδείκνυσι θείαις ῥήσεσι ὅλαις τῶν θεειδῶν διδασκάλων ἀπαραποιήτως σφᾶς ἀντιβαίνειν, ἐν διανοιῶν προφορᾷ τε καὶ λέξεων. Εστι δ' οὗ περιτρέπειν τε καὶ συγχεῖν σημασίας τὸ καθαρὸν δογμάτων τῶν πατρικῶν· ἔστι δὲ οὗ καὶ πρὸς νομοθεσίας ἀνυποστόλως χωρεῖν· καὶ ἁπλῶς ἐπὶ πᾶσι τοῖς ἀπὸ κοιλίας στοιχεῖν, καὶ πρὸς ἀνοδίας καὶ βάραθρα φέρεσθαι. Οὐκοῦν καὶ τοῦτον δὴ τὸν ἔλεγχον αὐθημερὸν σχεδιάσας, τὴν ἐφεξῆς, πρὸς οὓς ἐναπηυθύνετο, διαπέμπεται· διαπορθμευτοῦ κἀνταῦθα τοῦ προῤῥηθέντος συγκλητικοῦ χρηματίσαντος. Κἀκεῖθεν ἡμῖν ἐπὶ τῷδε καὶ τοῖς προτέροις ἧκει τις ἀπόλογος ὥσπερ εἰ μετὰ τὸ σφόδρα σφᾶς κατεπειχθέντας ἀσχολίαις καὶ μελεδῶσιν ἐφ' ἱκαναῖς ἡμέραις, ἀπείπασθαι πᾶσαν ἔγγραφόν τε ἄγραφόν τε δικαστικὴν μεταχείρησιν, ὑπερορίους γενέσθαι, καὶ πρὸς ἔρυμα τῶν ἀποκρήμνων ἐγκλεισθῆναι, καὶ μετεώρων· καὶ λαμπρὰν ταύτην οἷον ἀντίῤῥησιν ἐσχηκέναι, τὸ διαφόροις ἐκεῖσε τηρεῖσθαι φρουροῖς ἰσχυρώτατα· προσέτι δὲ μᾶλλον εἰπεῖν ἀπηνέστατα· ὥς που τῶν ἡμετέρων ἀλλαχόσε γραφῶν καθαρώτερον δεδηλώκαμεν.

Ζ'.

Καὶ ἡμᾶς μὲν εἶχον οὕτω αἱ καθείρξεις καὶ τὰ δεινά· τοῖς δέ γε καθ' ἡμῶν ταῦτα θεμένοις ἐν ἀσφαλεῖ, μετὰ ῥύμης ἐμβριθέστερον, ἧπερ

τὸ πρότερον, ἔργον γίνεται τοῦ λοιποῦ περισπούδαστον, πάντας ἀφύκτως ὠθῆσαι τοῖς καθ' ἡμῶν τομογραφηθεῖσι, χειρὶ καὶ μέλανι συναινέσαι, τῶν τῆς ἐκκλησίας ὅσοιπερ ἐπιλέκτων τῷ τέως στέγοντες οὐ συνήνεσαν· οἳ καὶ τὸ μὲν ἐπιφοραῖς ἀλγεινῶν, τὸ δὲ δώρων ὑποσχέσεσι καὶ ἀξιωμάτων, τοῦ καιροῦ γεγόνασιν εἴξαντες. Καὶ τὸ δὴ θαυμαστὸν καὶ ἐξαίσιον. Κύπριος ὁ μεγαλαφυσῶν, τούτους, οὓς συνδιϊερατεύειν διὰ τὴν μεθ' ἡμῶν ἐπ' αὐτῷ κοινωνίαν, ὡς βδελυκτοῖς δῆθεν τὸ πρὶν ἀπεστρέφετο, καὶ ταῦθ' οὕτως ἐν ᾧ βαθμῷ κατελέγετο κοινωνῶν, τηνικαῦτα, καὶ κατὰ τῶν οὕτω μὴ δρώντων ἀγωνιζόμενος, παντοῖος μεθύστερον γινόμενος ἦν, καὶ μηχαναῖς ἁπάσαις προσκείμενος· ὅτε μὲν ἐπαγγελιῶν, ὅτε δ' ἀπειλῶν καὶ κακώσεων, καὶ μηδὲ τὸ λιπαρεῖν ἀπανκινόμενος ὅλως, ἑλκύσασθαι οἳ συνιερᾶσθαι, καὶ μὴ ἀφίστασθαι. Τὸ δὲ τοῦ Ἀλεξανδρείας, πῶς οὐχὶ πέρα θειασμοῦ καὶ ἐκπλήξεως, ἀποτρόπαιον ὁ ὑπερνεφὴς καὶ τοῦτον ποιεῖται τὸ κατ' ἀρχὰς καὶ τῶν ἱερῶν διαγράφει δυπτύχων, παρὰ τὸ μετασχεῖν ἱερουργίας τῆς μεθ' ἡμῶν. Εἶτα βίᾳ καὶ δεξιώσεσι προσβαλὼν, καὶ πολλαῖς ἄλλαις ἐπιθέσεσι ταῖς ἐκ τῶν ἀρχείων, πείθει, μᾶλλον δὲ φάναι, κατάγει τε καὶ καταναγκάζει συνθέσθαι τοῖς καθ' ἡμῶν· πλὴν ὁ πεισθεὶς τὴν μετὰ τοῦ πείσαντος ἱερατείαν ἐς τὸ παντελὲς ἀποθεῖται· καὶ μηδ' ἂν εἴ τι καὶ γένοιτο συνελθεῖν εἰς ταύτην ἐνίσταται καὶ ὁ τὸ ἄδεκτον πρώην κατακριθεὶς καὶ μετέπειτα καὶ τὸ δεκτὸν ἔχειν δικαιωθεὶς, ἐπ' αὐτῇ δηλαδὴ κοινωνίᾳ τῇ ἱερατικῇ, ὡς καὶ τὴν ἀναφορὰν τελέσασθαι τοῦ σφετέρου ὀνόματος, ἐν οἷς διεγράφη τὸ πρότερον, τὸ ἀπαράδεκτον ἀντεστραμμένως ἐπικυρεῖ. Τῷ τοιουτοτρόπως κατακρίναντί τε, καὶ αὖ δικαιώσαντι, καὶ μόνῳ ψιλῷ κατονομάζειν ὀνόματι πατριάρχην ἀποχαρίζεται· καὶ ὃς δέχεται καὶ ἀσπαστὸν ἡγεῖται, ὅτι περ ὅλως τούτου τετύχηκεν· οὕτω φαῦλον, οὐχ ὅπως ἑτέροις, ἀλλὰ καὶ αὐτῇ φαυλίζειν οἶδε, καὶ στηλιτεύειν ἑαυτὴν ἡ κακία περιφανῶς.

Η'.

Ὅμως ἀνύει πᾶν τὸ καθ' ἡμῶν ὁ μετέωρος, καὶ τὰ τῆς ἐπενεχθείσης ἡμῖν καταδίκης κρατύνει· καὶ συμφώνους πάντας καὶ συντιθεμένους λαμβάνει, καὶ τὰ τοῦ κώδικος ἐμπεδοῖ, καὶ ὡς ἐν βεβαίῳ καὶ ἐκλονήτῳ βεβηκότα κατοχυροῖ· καὶ μετὰ τὴν παγίαν τήνδε καὶ στερεμνίαν ἀποκατάστασιν. Ὢ τῶν σῶν δικαιωμάτων, Χριστέ! Ὢ τῆς ἀβύσσου σου τῶν κριμάτων τῆς αὐτοαληθείας! Πρὸς σὲ γὰρ ἡμεῖς ἀφορῶντες, ὡς οἶδας, ὡς ἐξεπίστασαι, καὶ μηδεμίαν ἀνθρωπίνης κεκτημένοι μετουσίαν, μή τοί γε βοηθείας, ἀλλ' οὐδὲ ῥοπῆς ὁποσοῦν, πᾶν ἐπερχόμενον ὑφιστάμεθα. Ὁ κώδιξ, ὃν ὁ λογογραφήσας τόμον εὐσεβείας καλεῖν ἐθρασύνατο, καὶ μεγαληγορεῖν οὕτω πανταχοῦ τῶν οἰκείων διδασκαλιῶν, καὶ τῶν ἁπλῶς ἑτέρων ὁμιλιῶν καθεκάστην οὐ διελίμπανε, τόμος ἀσεβείας ἐξαίφνης, τόμος ἀλλοτρίας δόξης κυρωτικὸς ἀπροόπτως διατρανοῦται, διαγιγνώσκεται, καταγγέλλεται· καὶ οἱ διαγνόντες αὐτοί περ ἐκεῖνοι παραδόξως οἱ ὑπογράψαντες, οἱ σφοδρῶς ἀρχῆθεν ἀντιφερόμενοι πρὸς ἡμᾶς, οἱ δι' οὓς ὁ τομογράφος οὗτος, πρὸς ἃς ἠρεύξατο βλασφημίας ἀπήχθη, καθ' ἡμῶν σφαδάζων, καὶ τούτους μᾶλλον ἔνθεν ὑποποιούμενος, καὶ μὴ ἄλλως ἔχων ἐκπλῆσαι τὰ τῆς μανίας, εἰ μὴ κατὰ τῶν πατρικῶν ὅρων καὶ λόγων τῆς εὐσεβείας φρυάξαιτο· οἱ μεθ' ὧν ἔδρα, μεθ' ὧν διορθώσασθαι τὰ τῆς πίστεως ἐβρενθύετο· σφων οἱ πλείους τῶν αὐτοῦ χειρῶν εἰς ἀρχιερατικὰς ἀξίας γεγονότες πλαστούργημα· καὶ συλλειτουργοὶ χρηματίσαντες καὶ συμποίμενες· οἱ καὶ τῆς παῤῥησιασθείσης ἀτοπίας εἰς συναίσθησιν οὕτως ἐλθόντες καὶ μεγαλοφώνως ταύτην καθομολογήσαντες, καὶ κηρύξαντες, ὡς καὶ τοῦ οἰκείου κορυφαίου πάμπαν ἀποδιαστῆναι καθαπερεὶ πρωτουργοῦ, ἡμῖν ὡσαῦθις οὐχ ἧττον, ἥπερ τὸ πρὶν, ἐναντίοι μεμενήκασιν ἔτι καὶ μένουσιν· τοῖς αὐτοῖς ὁρμήμασιν ἀκαθέκτως ἐπι-

πηδῶντες, τοῖς αὐτοῖς ἐγκλήμασιν ἀλογίστως ἐπιφυόμενοι· καὶ τίς ἂν ἀπροσπαθέσι νόος ὀφθαλμοῖς, μὴ προλήψει συνισχημένοις, τῇ κοινῶς ἐνσκηψάσῃ τε καὶ χρονίως. Ἐντεῦθεν γὰρ ἡμῖν ἡ πᾶσα τῆς ἐπηρείας ἰσχύς, ἐνταυθὶ θεωρήσας, οὐ τὸ πᾶν διαγνοίῃ, καὶ τῆς ἀπονοίας τούτους μὲν ταλανίσειεν, ἡμᾶς δὲ θαυμασίως δικαιωθῆναι πρὸς Θεοῦ βεβαιώσειεν.

Θ΄.

Ὁμόπνοοι καθ᾽ ὁλοκληρίαν οὗτοι Κυπρίῳ, τοῖς κροτηθεῖσιν ἐκείνοις ἐν ἀνακτόροις δικαστηρίοις, ἡνίκα τοῖς ἀνάπτοις, τηλίκον σθένος ἐνδεδυμένοις, οὐχ ὅπως ἐμψύχων, καὶ λόγῳ διοικουμένων, ἀλλὰ καὶ λίθων αὐτῶν αὐτόχρημα φύσις ἐπενήνεκτο καθ᾽ ἡμῶν· σύμφωνοι τοῖς ἀπεναντίας φερομένοις, αἷς ἡμεῖς εἰς δεφένδευσιν προὐβαλλόμεθα τηνικαῦτα χρήσεσι πατρικαῖς. Τοῦτο γὰρ ἡμῖν ἐπετρέπετο, καὶ ἐστέργετο· τὸ μόνον ἑαυτῶν ὑπεραπολογεῖσθαι, καὶ μὴ περαιτέρω προβαίνειν ὁποσονοῦν αὐτήκοοι τῶν, ὧν μεθ᾽ ἱκετηρίας προὔθετο τότε λόγων ὁ ἡμέτερος ἀρχιθύτης, ἀντιβολούντων μὴ παρὰ κακίαν τὴν πρὸς ἡμᾶς νεοσύστατος αἵρεσις φυτευθείη τῇ ἐκκλησίᾳ Θεοῦ, τὰ τῆς μανίας βλέπων, ὅπῃ προσκόπτει· φθάσαντες, ὡς προέφημεν, ἐξουδενωταὶ τῆσδε τῆς ἱκετείας, ἐμβριθεῖς ἡμῖν ὑβρισταί, τῆς καταδίκης συνσπουδασταί, καὶ μετὰ τὸ συνελαθῆναι πάντας ὁμοφώνους ταύτῃ γενέσθαι καλάμῳ καὶ μέλανι καθ᾽ ἡμῶν, εἰς τοὺς τῆς λήθης χώρους τὸ τοῦ ἔπους παραπεμφθέντων, ὥσπερ ἐν ἅδου μυχοῖς, διαγνώμονες οὗτοι τῆς κυρωθείσης κακίας, σύνδρομοι ῥήμασιν ἐκείνοις ἡμετέροις τοῖς ἐξουδενωθεῖσι, τῆς νεοφανοῦς αἱρέσεως, ἧς ἀρχηγὸς Κύπριος, ἀναγορευταὶ διαπρύσιοι· καὶ ποῦ χώρα τοῦ λοιποῦ τὸ καθ᾽ ἡμᾶς ὅμως γέ πως ἀνατρέπεσθαι παρ᾽ αὐτῶν καὶ κακίζεσθαι, ὅπου καὶ καθαρῶς ἂν ἀπεκρίθη σφᾶς ἡμῖν ὑποδίκους εἶναι, διαιτηταὶ τῶν προβάντων, εἴ ποθεν ἀῤῥεπεῖς ἀνεφάνησαν.

Ι΄.

Ἀντίκεινται φάσκοντες ἀναισχύντως, ὡς αὐτοὶ τὸν εἰς προηγὸν ἡμῶν καταστάντα, δόξαν ἑτεροκλινῆ τῶν κειμένων, ἐν ᾧπερ ἐξέθετο τόμῳ παραδόντα καταμαθόντες, ἀπηλέγξαμεν καθηκόντως, καὶ τὴν μετὰ τοῦδε κοινωνίαν ἀπεσεισάμεθα. Τὸ δ᾽ ὑμέτερον ὡς ὁμολογούμενον ἐναντίον καὶ νῦν αὖθις ἀποπεμπόμεθα. Καὶ πρῶτα μὲν εἰπάτωσαν· τί τὸ τῶν ἐλέγχων κινητικόν, καὶ πρὸς ὃ διεγερθέντες παῤῥησιάζονται, τὴν ὁμωνυμίαν πάντως ἐροῦσι τῆς ἐκπορεύσεως; Αὕτη γὰρ ἔσχε τὸ δῆλον, καὶ ἡμῖν τὰ περὶ τούτου μόλις που καὶ βραδέως, οὕτω καθειργνυμένοις, ἐγνώρισται. Καὶ χωρὶς δὲ τῶν ἐν τοῖς δικαστηρίοις εἰς ἀντικατάστασιν τῆς τοσαύτης ἀτοπίας παρ᾽ ἡμῶν τρανωθέντων, πόθεν ὁ ταύτης θρίαμβος ἀρχῆθεν καὶ ἡ ἐμπόμπευσις· οὐκ ἐκ τῶν ἐγγράφως ἡμῖν ἐκτεθέντων τοῦ κώδικος εἰς ἀντίῤῥησιν· παραυτίκα μὲν πρὸς τοῦ ἀληθοῦς πατριάρχου, ἥπερ καὶ διαδόσιμος αἰτίαις, αἷς δῆτα καὶ λέλεκται, γέγονε παρευθύς· καθεξῆς δὲ καὶ παρ᾽ ἡμῶν ἀμφοτέρων, ὧν καὶ οἱ λόγοι πάρεισιν ἆρα· καὶ πότε καὶ πηνίκα προήχθησαν παραστατικοί; Οὐκ ἐκεῖθεν ἐτῶν ἀριθμὸς τεττάρων παρεῤῥυήκει μέχρις ὅτου τὸν οἰκεῖον οἶδε ζῆλον ἐνδείξαιντο, καὶ τὸ βλάσφημον στηλιτεύσαιεν; Οὐκοῦν ἐλεγχθέντες ἤλεγξαν· οὐ γὰρ οἴκοθεν· ἔπειτα δὲ τὸ ἡμέτερόν πως ἀποπεμπτέον ὡς ἐναντίον ὁμολογούμενον, εἰ τὸ ὁμώνυμον ἄτοπον ὡς διέγνωσται, τὸ μονολόγιστον ἐξέχεσθαι τῆς ὀρθότητος ἀναμφίβολον. Ἐκείνου μὲν οὖν ἡμεῖς ἀποσοβηταί· τούτου δὲ κατάκρως ἐξηρτημένοι, καὶ παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι δι᾽ Υἱοῦ τὸ πανάγιον Πνεῦμα τρανῶς ἀνομολογοῦντες. Ὃ δὴ βάθρον ἡμῖν καὶ θεμέλιον ἀῤῥαγές· ἐπὶ τῇ, δι᾽ ἣν καταδίκην πᾶσαν ἐστέρξαμεν καὶ στέργομεν ὑποθέσει, μίαν ἁπαξαπλῶς μονωτάτην ἔννοιαν παριστάνειν ἁπανταχοῦ τὴν – ἐκπορεύεται – λέξιν ἀνακηρύττομεν, τὸν ἄφραστον δηλαδὴ τρόπον τῆς τοῦ ζωοποιοῦ Πνεύματος οὐσιώδους

ὑπάρξεως. Εἰ τοίνυν πρὸς τῇ ἀποτροπῇ τοῦ ἀτόπου καὶ τοῦθ' οὔπω σφίσιν ὁμολογεῖται, πῶς οὐχ ἡ καθ' ἡμῶν πᾶσα σπουδὴ ματαία, καὶ γνώμης ἐθελοκάκου παντάπασιν; Εἰ δὲ τὴν δι' Υἱοῦ ὕπαρξιν ἀθετοῦσι, καὶ πάλιν ἡμῖν προσάπτοντες εἰρηκόσιν, ὡς ἔγκλημα, καὶ τὸ ἀνεξήγητον ταύτης ἐπ' ἀναιρέσει παρεισάγειν ἐπιχειροῦσι, τὴν ὁμωνυμίαν· καὶ αὖ οὐκ ἐκφεύξονται, κἂν εἰ πολλὰ δραμόντες τεχνάσονται, καταδήλως ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέφοντες. Καὶ περὶ μὲν τούτων ἅλις διὰ βραχέων· ἐπεὶ προϊόντες φαίημεν ἐντελέστερον.

ΙΑ'.

Νῦν δ' ἀνακτέον τὸν λόγον ἐφ' ἅπερ ἐλέγομεν· καὶ διηγητέον τὰ παρηκολουθηκότα τοῖς ἀγγελθεῖσιν ἑξῆς. Ἐλήλεγκται μὲν οὕτως ἡ κορυφαία Κυπρίῳ καὶ περισπούδαστος ἐπιχείρησις καθ' ἡμῶν, πρὸς τῶν οἰκείων καὶ τῆς σφετέρας συμμορίας καὶ παρατάξεως· οἱ δέ γε τούτου προβιβασταὶ καὶ ὑπέρμαχοι, καὶ πολλὴν ἡμῖν πάλαι δυσμένειαν τρέφοντες, οἱ καὶ τὸ πᾶν τῆς δυναστείας ἀνεζωσμένοι πρὸς τοῦ κρατάρχου, καὶ πᾶν ἐκκλησιαστικὸν πρὸς τοῖς κοσμικωτέροις ὁροθετοῦντες καὶ διεξαγαγόντες· οἱ καὶ τὰ τῆς ἀποφανθείσης βλασφημίας, ὅσα καὶ περὶ λόγους σθένος πλουτοῦντες, ὑποθέμενοι τῷ πρωταιτίῳ φανέντι, καθὼς ἡμεῖς αὐτήκοοι πρὸ τοῦ γραφῆναι κατέστημεν. Μουζαλῶν δή φημι σὺν τοῖς περὶ αὐτὸν ὁ καὶ Βοΐλας. Ἐπεὶ πολλὰς ἀτραποὺς ταμόντες τὰ γνωσθέντα καὶ τρανωθέντα περιτρέψαι καὶ καταστεῖλαι τὸ παράπαν οὐκ ἴσχυσαν, τὸν ἑταῖρον τοῦ θρόνου κατάγουσι καὶ πείσαντές τινας τῶν εἰς ἱεράρχας δῆθεν κατειλεγμένων, καὶ διαστάντων, ὡς διηγγείλαμεν, σὺν τοῖσδε δέχονται μὲν εἰς ὀρθοδόξων μοῖραν τὸν τοιοῦτον, δεδωκότα λίβελλον πίστεως, ἐκτὸς δὲ πάσης ἱερατικῆς ἀξίας καὶ τάξεως. Καὶ ταῦθ' οὕτως οἰκονομοῦσιν αὐτοὶ δογμάτων κύριοι, καὶ ἱερωσύνης, αὐτοὶ τελεσταὶ καὶ καθαιρέται· αὐτοὶ βλάσφημοι καὶ διορθωταὶ βλασφημιῶν καθιστάμενοι. Βουλὴν δ' ἐν τούτοις βουλεύονται, προσβαλεῖν ἡμῖν αὖθις, οὐκέτι τοῖς εἰωθόσιν, αὐστηρίᾳ τὸ σύμπαν καὶ ἀπηνείᾳ καὶ ἰταμότητι. Ταῦτα γὰρ ἱκανὴν πεῖραν παρέσχον, ὡς οὐδὲν σφίσιν εἰς ὄνησιν, ἑτέροις δὲ τοῖς ἐξ ἀντιθέτου λόγων ὑπουλότησι καὶ θωπείαις καὶ πανουργεύμασι. Καὶ δὴ στείλαντες πρὸς τὸ ἐν ᾧ κατησφαλίσμεθα φρούριον, πρώτως μὲν ἐξάγουσιν ἐκεῖθεν τὸν δραστήριον σφῶν ὑπηρέτην τοῦ τάγματος τῶν ὠνομασμένων Βαράγκων καὶ προὔχοντα τῶν ἐξ αὐτῶν ἐκεῖσε καθεστότων εἰς τήρησιν ἡμετέραν, καὶ λοιπῶν συστήματος τοῦ τῶν μονιτῶν. Οὗ τὸ καθημέραν ἀνηλεὲς τῶν ἄλλων ἰδιαζόντως ἐν ἀσφαλείᾳ καὶ παντοίαις ταῖς ἐξ ἔργων καὶ λόγων κακώσεσιν, εἰ μέρος ὅλως τι καὶ ἡμῶν ἀποτέτακτο, πολυειδοῦς ἂν ἐγεγόνει διηγήσεως ἄξιον. Πλὴν ἐξιστῶσι τοῦτον ἐκεῖθεν μετὰ τῶν ἐναπολειφθέντων φυλάκων ἀντικαταστήσαντες ἕτερον, καὶ μικρὸν ἡμῖν ἐντεῦθεν ἀναπνεῦσαι διδόασιν εἰρηκότες· ἦ μὴν καὶ γραφαῖς ἐνσημανθῆναι πάνθ' ὅσα καθ' ἡμῶν οὗτος ἐξείργασται· τιμωρηθήσεσθαι παρὰ γνώμην αὐτῶν ὡς τὰ δεινὰ πεπραχότα τὸν τοιοῦτον, ἔνθεν καθυπεμφαίνοντες. Ὃς καὶ παρατοσοῦτον οἴασοῦν πεπείραται καταδίκης παρόσον καὶ λαμπρᾶς ἐν τῷ οἰκείῳ τάγματι μᾶλλον ἀξίας καὶ προκοπῆς μετ' ὀλίγον ηὐμοίρησεν. Εἶτα δὲ καὶ χρηστολογίας προθέμενοι μεθ' ὁποιονοῦν ὑποσχέσεων, σπουδὴν ποιοῦνται παντοίως ἡμᾶς ἑλκῦσαι· δόγμα μὲν ἀθετῆσαι τὸ πατρικόν, κατὰ μικρὸν δὲ παρασυρῆναι τοῖς αὐτῶν προθέσθαι καινοφωνήμασι. Τοῦτο πλὴν οὐκ ἐν φανερῷ, ἀλλὰ τῷ λαθεῖν ἠρέμα συστῆσαι κατεπειγόμενοι· ἐκεῖνο δὲ καταδήλως, ὅσα καὶ πάντα ἀτεχνῶς ἔχειν συνερχομένους αὐχοῦντες, ὡς ἐντεῦθεν καὶ παρ' ἡμῶν ἀνατραπῆναι τὸ καθ' ἡμᾶς, βεβαιωθῆναι δ' αὖθις λάθρα τὸ σφέτερον.

ΙΒ'.

Ἡμεῖς δὲ τῷ λίαν ἠκριβωμένῳ καὶ σφοδρῷ τῆς καθείρξεως, μηδὲν εἰδότες τῶν τελεσθέντων,

ἀλλ᾽ ἢ μόνον ἀμυδρῶς ἀκηκοότες, ὡς τοῦ θρόνου Κύπριος κατενήνεκται, φάσκομεν ἀπολογηθέντες ὡς ἐπεὶ μὴ βούλονται κοινῇ συνελεύσεις ἐλλογίμων ἀνδρῶν γενέσθαι· πᾶν γὰρ τοιοῦτον ὁλοσχερῶς ἦσαν ἀποπεμπόμενοι, καὶ κατὰ θεσμοὺς διαλέξεων λογοπραγηθῆναι, καὶ κατεξετασθῆναι, περὶ ὧν αἱ ζητήσεις αὗται καὶ ἐφελκύσεις, ἐκλεγήτωσαν ἐξ αὐτῶν παρ᾽ ἀμφοτέρων. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ὁ μεθ᾽ ἡμῶν εἶναι φαινόμενος, ὡσεὶ τὸν ἀριθμὸν εἴκοσι, τῶν ἐπὶ σοφίᾳ καὶ πολιτείᾳ γνωρίμων, καὶ πρὸς μόνην θέαν ἡμῖν ἀφικέσθωσαν, τρίτατα καὶ τέτταρα, ἢ βραχύ τι πρὸς, ῥημάτια φθεγξομένοις καὶ τοῦ λοιποῦ γράμμασι τό σφισι δόξαν, τῷ λόγῳ τοῦ δόγματος, ἐφ᾽ ᾧ τὰ τῆς ὑποθέσεως ἐγχαράξαντες, οἰκείαις ὑπογραφαῖς κυρωσάτωσαν. Καὶ καθεξῆς ἡμεῖς ὑποκύψομεν, εἰ κακῶς ἐντεῦθεν λέγειν φανῶμεν. Οὗτοι δ᾽ ὀφθεῖεν καλῶς, οἱ τοιουτωδῶς ἡμῖν ἐπικείμενοι, καὶ μηκέτι τὸ σύνολον ἐνιστάμενοι, κατὰ πᾶν ἀλογοπραγήτως ὑπείξομεν. Ἀσμένως δέχονται ταῦτα καὶ προσδοκήσιμον ἦν ἐξ ὧν πέμψαντες αὖθις παρίστων, ἐκεῖθεν ἡμᾶς μεταβιβασθῆναι, καὶ τὴν τῶν λεγομένων προβλῆναι περάτωσιν. Ἀλλ᾽ οὐκ ἔμελλε τοῖς τοῦ ψεύδους προσεῖναί τι καὶ ἀληθείας· ὅθεν τάδ᾽ ἀναρτῶντες, ἑτέρως μᾶλλον ἡμᾶς ὑπαγαγεῖν πρὸς τὸ σφῶν βούλημα κατηπείγοντο βασάνου δίχα καὶ τῆς τυχούσης καὶ λόγων ἄνευθεν οἵων δή τινων.

ΙΓ΄.

Ἐνταῦθα μὲν οὖν ἀνάγκη τις ἀπαρέγκλιτος περὶ τῶν κατ᾽ ἐμὲ διαλαβεῖν ἰδιαίτερον. Ἐν τούτοις ὄντων ἡμῶν χρόνος ὅλος ἀπηρτίσθη παρωχηκώς, καὶ προβαίνων ἤδη δεύτερος ἑωρᾶτο, νόσων ἀλλεπαλλήλων, ἀφ᾽ οὗ με σύρροια περισχοῦσα, τῇ κλίνῃ τε δεινῶς προσηλώσασα, πόνοις ἀφορήτοις κατέτρυχε. Πρῶτα μέν μοι λάβροι πυρετοὶ καὶ διακαεῖς ἐπεισέφρησαν ἐκ διαλειμμάτων· εἶτ᾽ ὠδῖνες δριμεῖαι περὶ κύστιν αἷς ἐξ ἀγκάδων ἀνέβαλλον ἀλγειδόνες ἀνύποιστοι, μέλεσιν, οἷς εἰώθασι κρυφιώδεσι γίνεσθαι. Διάτρησις ἔνθεν αὐτοῦ που βαθεῖα καὶ βαρυαλγὴς ἐναπετελέσθη. Πρὸς τούτοις μηρῶν οἰδήματα καὶ γονάτων ἄχρι καὶ τῶν σφυρῶν, ποδῶν ἐφεξῆς ἀκινησία καὶ νέκρωσις· ὡς μὴ μόνον ἀπέχειν τό σφισιν ἑδραζόμενον ὅλως, τὰς πρὸς ἔκκρισιν δύνασθαι φυσικὰς ἀνάγκας ἀποπληροῦν. ἀλλ᾽ οὐδὲ μετασαλεῦσαι τούτους ἰσχύειν ἐν τῇ κλίνῃ τὸ τέλεον. Τάδ᾽ ὕπερθεν καταρροή τις ἐκ κεφαλῆς ἐπὶ τὴν τοῦ στόματος ὑπερῴην, καὶ τοὺς κρεώδεις συνδέσμους, οἷς οἱ ὀδόντες θεσμοῖς ἀλληλουχίας εὐτάκτου συσφίγγονται συνεχόμενοι, ὡς τοὺς μὲν ἐντεῦθεν διαλυθῆναι, καὶ χύσεις ὅλας ἐκκρουνίζειν αἱμάτων· τοὺς δὲ λεπτοῖς, οἷον ὑμέσιν ἀπηωρεῖσθαι, τροφὴν προσιεμένους εἰς ἀλέσαι μηδεπωσοῦν. Ἐπὶ πᾶσι καχεξία καὶ ὕδερος ἀφύκτως θάνατον ἐπιφέροντα, καθῶς ταδὶ τῶν ἄλλων προδήλων ὄντων παρά του τῶν ἰατρῶν διεγνώσθη, πρὸς τῶν φυλάκων ἐκεῖσε κληθέντος, καὶ ταχέως ἀπαλλαγέντος, καὶ πρὸς τῇ ἀπογνώσει δεδηλωκότος· ἔτι γε μὴν τῇ τῆς ἀσφαλείας οὐχ ἧττον ὑπερβολῇ, μὴ ἔχειν τι διαπράξασθαι. Σκέψις οὐκοῦν πρὸς ταῦτα γίνεται τοῖς φρουροῖς, καὶ τὸ πᾶν δηλοῦσι διὰ γραφῶν συμφωνήσαντες· ἃ καὶ ὡς γνοῖεν οἱ πρὸς οὓς καὶ παρ᾽ ὧν ἡμῖν τὰ τῆς ἐπιθέσεως, φιλανθρωπευσάμενοι δῆθεν διὰ βασιλικῆς ἐγγράφου προστάξεως, καί τινος ἐκ τοῦ τῶν Βαράγκων στίφους πεμφθέντος, ἡμᾶς ἐφικέσθαι παρασκευάζουσιν. Ἐκεῖνα καθ᾽ ἑαυτοὺς λογισάμενοι, καθὼς ἐκ τῶν ἐσύστερον γεγονότων μοι διαμηνυμάτων ἐγνώκαμεν· ἢ γὰρ ἡμῖν ἐπανελθοῦσιν ἕψεται τὸ θανεῖν, καὶ καλόν σφισι τὸ οὕτω γενέσθαι, καὶ μὴ εἱρκταῖς ἡμᾶς ἀπηνέσι καὶ ἐξορίαις τούτου τυχεῖν. Ἐπιτυχὲς ὡς ἀληθῶς, καὶ τῶν περὶ πλείονος ἐρετῶν ἡγουμένων καθὰ σύνοιδέ μοι τὸ συνειδὸς ἐν τοῖς τοιούτοις καὶ ὑπὲρ τηλικούτων τὸ πέρας λαβεῖν, ἢ πρὸς ὑγίειαν ἐπανακληθέντας, ῥᾳδίως καθυπαχθῆναι πρὸς ἅπαν, τῷ τε μερισμῷ τῶν συγκατακρίτων καὶ τῇ τοσαύτῃ πείρᾳ τῶν ἀλγεινῶν καὶ θανατηφόρων δεινῶν, ὡς ἐντεῦθεν

δι' ἡμῶν κἀκείνους ὑπαγαγέσθαι, καὶ τέλος θεῖναι κατὰ τὸ βουλητόν. Ἐπανήκομεν οὖν, οὕτω δόξαν, καὶ πρὸς τοὺς οἰκείους κομισθέντες κατακλιθῆναι παρεκελεύσθημεν, ὡς τῆς παρ' αὐτῶν ἐπιμελείας τευξώμεθα, προστάγμασι τοῦ μή τινας τῶν ἁπάντων, πλὴν τῶν κατ' αἷμα γνησίων παραγινομένους ἡμῖν ὁμιλεῖν καὶ μὴ διᾶραι τὰ χείλη, κἀπὶ τοῖς ἀναγκαίοις σχεδὸν δυναμένοις, ἀλλὰ βαθείᾳ συνεχομένοις σιγῇ. Τελοῦνται ταῦτα κατὰ τὸ προσταχθέν, καὶ τομαῖς καὶ χειρουργίαις, καὶ λοιπαῖς θεραπευτικαῖς μεθόδοις, θεοῦ δὲ τὸ πᾶν ἰσχύϊ τοῦ παρ' ἑαυτῷ τὸ θανατοῦν ἔχοντος καὶ ζωογονεῖν, τῶν ποικίλων παθῶν ἀνεσφήλαμεν, καὶ πρὸς ῥῶσιν κατὰ μικρὸν ἐπανήχθημεν.

ΙΔ'.

Οὔπω τῆσδ' ἀνεφάνη τὸ καθαρὸν καὶ τοῦ κραταρχοῦντος παρὰ τῶν ἡμῖν ἀντιδιατιθεμένων, καὶ πολὺ παρ' αὐτῷ περιβεβλημένων σθένος, ὡς πολλάκις μοι διηγόρευται, πρώτης ἐκ μεταβολῆς τῶν πραγμάτων καθ' ἡμῶν ἀκρατῶς διερεθισθέντος, ὡς πρὸς τὴν σφῶν δόξαν διαφόροις αἰτίαις μετατεθέντος, ἐπιταγαὶ καταπέμπονται· καὶ πρώην ἐπαγωγοῖς ῥήμασι πρὸς ἡμᾶς χρωμένου, παρ' ὅλον χρόνον τὸν διὰ μέσου τῆς τῶν νοσημάτων κατοχῆς, καὶ τῆς ἀπαγοῦς ἐξῆς ἀνακλήσεως φορείῳ βασταχθέντας ἀχθῆναι πρὸς τὰ βασίλεια, κἀμοῦ πρὸς τοῦτο παρασκευαζομένου, καὶ βραχέα ἀποφθεγξαμένου, πρὸς οὓς διαφόρους λόγους ἠνώτισμαι κεφάλαιον ἐφ' ἅπασι κεκτημένα, τὸ παρεῖναι δεῖ κἀκείνους, μεθ' ὧν συγκαταδεδίκασμαι, καὶ κοινῶς σκέψασθαι πρὸς ἅπερ ἀπαιτούμεθα δρᾶσαι, λογοπραγίας ἐκτὸς οἱασοῦν καὶ κοινῶς θέσθαι τὸ λογισθὲν ἐπ' αὐτοῖς δέον, ὃ κἂν τοῖς ἐρχομένοις μοι πρὶν μηνύμασι λέγειν οὐ διελίμπανον, καὶ ὡς οὐδαμῶς ἰδίᾳ τι πραχθήσεται παρ' ἐμοῦ, εἰ μὴ βούλοιντ' ἂν πρὸς λόγους ἱκέσθαι μόνους· πρὸς τοῦτο γὰρ ἤδη κατὰ δύναμιν ἥξειν ἠυτρέπισμαι. Ταῦτ' ἐπεὶ πρὸς τὸ βασίλειον ὕψος ἀνενεχθεῖεν, ἐκεῖθεν παρακελευσματικοὶ διαπορθμεύονται λόγοι, μηδ' ὅλως ἡμᾶς κατὰ τὰ πρότερον ἀγγελθέντα παραγενέσθαι, εἰ μὴ πρὸς πᾶν συνέλθωμεν τὸ ζητούμενον· στέργομεν οὐκοῦν μείνοντες οἴκοι, καὶ τῶν πρὸς σωματικήν, ὡς ὁ καιρὸς ἐδίδου, ῥῶσιν ἐπιμελούμεθα· διάλειμμα τὸ μετὰ ταῦτα βραχύ, καὶ πάλιν ἐπιφοραὶ ῥημάτων, ἐπαιτήσεις ἔχουσαι τὰς αὐτάς, ποτὲ μὲν ἐπιεικείᾳ φαινομένῃ καὶ ἱλαρότητι καὶ προσέτι δελεάσμασιν ἐπαγγελιῶν· ποτὲ δ' αὐστηρίᾳ, καὶ ἀπειλαῖς· ἀπελάσεως εἰσαῦθις σφοδροτέρας καὶ ἐξωθήσεως. Καὶ ταῦτα μέχρι πολλοῦ τοῖς οἷς ἐφάσκομεν ἐμμενόντων ἡμῶν, καὶ μὴ ὑπενδιδόντων ὁπωσονοῦν· ἤθελον μὲν οὖν οἱ οὕτως ἐπιτιθέμενοι, φροντίσι κατατεινόμενοι μεταστείλασθαι τοὺς συγκαταδίκους καὶ μάλιστα τῶν πρὸς ἡμᾶς ἐν ἀρχῇ λόγων· καὶ πᾶσιν ὁμοῦ τρόποις ἐς τὸ σφῶν βούλημα μεταθεῖναι μεταχειρίσασθαι· πρὸς δέ γε τὰς ἡμετέρας ἀποκρίσεις ἀφορῶντες ὁλοσχερῶς ἀνεβάλλοντο, δειμαίνοντες μήποτε, κἀκείνων ἐπιδεδημηκότων ἐκ λόγων ὁπωσδήποτε κινηθέντων, πρός τε τὸ καθόλου τῆς ἐνστάσεως γενομένης, ὃ συγκαλύψαι σπουδὴν ἐποιοῦντο, μᾶλλον ἐκκαλυφθείη, καὶ τὰ τῶν ἐγγράφων ἀτοπιῶν ἐπιπλέον ἐξαπλωθείη καὶ διακηρυκευθείη τρανώτερον. Παλαίοντες οὖν ἦσαν συννοίαις ἐπὶ μακρόν.

ΙΕ'.

Τέλος ἐπεὶ τοῖς τῆς ἑῴας μέρεσιν ἐπιχωριάσαι τῷ αὐτοκράτορι προὔκειτο, δι' ἐκείνων τῶν τόπων τάττουσι διελθεῖν, ἐφ' ὧν τὸ τοὺς καθειργνυμένους κατέχον φούριον ἔκειτο· γίνεται τοῦτο καὶ κατασκηνοῖ μὲν ὁ κρατάρχης ἔν τινι κώμῃ περὶ τοὺς πρόποδας τοῦ ὄρους, ἐφ' οὗ περίστατο τὸ πολίχνιον, καὶ πρὸς τοὺς κατακλείστους πρότερον, διαμηνυμάτων γεγονότων εὐεπαγώγων, τὰ τοῖς σφῶν οἰκονομοῦσι καθόδου· καὶ τὸν μὲν πατριάρχην ἐπικαθεσθέντα φορείῳ, μὴ δυναμε-

νον ἄλλως, κακώσεσι ταῖς ἐκ ποδαλγίας, ἐπ᾽ ὀχήματος δέ γε τὸν χαρτοφύλακα τὰ τῆς σκηνῆς ἔνθα τῆς βασιλείου κατάγουσι, καὶ διαστήσαντες ἀπ᾽ ἀλλήλων, ἐν ἰδιαζούσαις οἰκίαις ἑκάτερον. κρίνουσιν, ἵν᾽ αὐτὸς ὁ Μουζάλων τὸ τοῦ πρωτοβεστιαρίου τηνικαῦτα διέπων ἀξίωμα, πρώτως ἐντύχῃ τῷ πατριάρχῃ, καὶ γοῦν ἐντυγχάνει, καὶ λόγων μειλιχίων προσηνῶς μάλα προενεχθέντων, εἰς τὴν περίπου τὸν εἰκοστὸν ἀριθμὸν ποσουμένων ἀνδρῶν ἐλλογίμων ἐπίκρισιν, κατὰ τὰ πρότερον αὖθις περὶ τοῦ ζητουμένου συνέρχονται. Γνώριμα μετ᾽ ἔπειτα καὶ τῷ χαρτοφύλακι ταῦτα ποιοῦσι προσκαλεσάμενοι, καὶ κατανεύοντα πρὸς αὐτὰ, καὶ τοῦτον λαμβάνουσιν, ὡς καὶ πρὶν τοῖς τρισὶ, συνδοκοῦντα, τυγχάνοντα. Χῶρον ἐφεξῆς ἀφορίζουσι τὸ Λοπάδιον, εὐθέτως ἔχοντα, τούσδε μεθ᾽ ὧν τὰ συντεθειμένα, κἀμέ· καὶ προσέτι τοὺς εἰς διαγνώμονας ἐσομένους, ἑτοιμασίαις βασιλείοις καὶ προσταγαῖς, ἄλλον ἀλλαχόθεν διαπλωισαμένους, ἐκεῖσέ τε συνδεδραμηκότας καθυποδέξασθαι. Φιλοφρόνησις ἐπὶ τούτοις παρὰ τοῦ κυριαρχοῦντος πρὸς ἀμφοτέρους ἐμφρούρους, δεξίωσις οὐκ ὀλίγη, καὶ τοῦ λοιποῦ πρὸς μὲν τὴν ἐν τῷ πολιχνίῳ προτέραν αὖθις διαγωγὴν, σφίσιν ἐπ᾽ ἐκδοχῇ τῶν τεταγμένων ὑποστροφή· Βασιλεὺς δὲ καὶ Μουζάλων, σὺν τοῖς περὶ αὐτὸν, πορείαν τὴν προκειμένην ποιοῦνται, συμπαθήσειν κατὰ τὸ θελητὸν ἔχοντες ἐν χερσίν· καὶ πρώτως μὲν οἰκονομήσειν τὸ τῶν διαιτητῶν καθόσον ἀρέσκει· δευτέρως δὲ καὶ τὸ ἡμέτερον ἕξειν εὐείδοτον βεβαιούμενοι, τὴν Νίκαιαν εἰσέρχονται πόλιν περιφανῆ· χρονοτριβοῦσιν ἐκεῖσε. Μετέπειτα τῷ Λοπαδίῳ φοιτῶσιν, ἐπιμήκιστον ἐμφιλοχωροῦντες, καὶ ἡ περιπερχὴς ἐκείνη καὶ κυρωθεῖσα συνέλευσις οὐδαμοῦ· καὶ τὰ τῆς διηυθετημένης ἐπὶ ταύτῃ παρασκευῆς φροῦδα. Τόσον Μουζάλωνι τὸ τῆς συνειδήσεως σταθηρὸν, ἐφ᾽ ἧπερ ὑποθέσει ζεόντως, οὐχ᾽ ὅπως ἀνδρῶν ἱερῶν ἐκκλησίαν ὅλην, ἀφ᾽ ἧς ἁγιασμοῦ μετελάμβανεν, ἀφανισμῷ βιαίῳ παρέπεμψεν· ἀλλὰ καὶ τῶν ἀχράντων καὶ φρικωδῶν σὺν Κυπρίῳ τῷ παρ᾽ αὐτοῦ τελεσιουργηθέντι· φεῦ, μανιωδῶς κατωρχήσαντο!

Ις'.

Ἐμοί γ᾽ οὖν οὐδ᾽ ἐκεῖνο παραλειπτέον, ἐπιδρομάδην διερχομένῳ, παραπλήσιον ὄν· εἰ καὶ πολλῷ τούτων τοιαῦθ᾽ ἕτερα πλείω παραλιμπάνεται. Χαλεπῶς ἐν τῷ συνωθεῖσθαι τοὺς τῆς ἐκκλησίας λογάδας, ὡς διηγγέλθη, τομογραφίκις ἐκείναις ταῖς καθ᾽ ἡμῶν συνδιατεθῆναι, μετὰ συχνὰς δικαιολογίας, ἃς ἐπῆγον ἀθέσμως ἀποπεμπόμενοι, λιπαροῦντες αἰτοῦσιν, ἔγγραφον γεγονέναι βασίλειον προσταγὴν, κληθῆναί τινας ἐκ τῆς τῶν καθ᾽ ἡμᾶς Ῥωμαίων ἐπικρατείας, λόγῳ καὶ συνέσει διαπρεπεῖς, καὶ σοφῶν ἐφ᾽ οἷς καθέλκονται δυναστείᾳ διαγνωμονησάντων, αὐτοὺς ὑπενδοῦναι. καὶ κατὰ πανθ᾽ ἑκόντας ὑποσπεσεῖν, ἐπικλινὴς ὁ Μουζάλων ὁρᾶται πρὸς ταῦτα μόλις· καὶ περάνας τὰ τῆς δεήσεως, τῷ Ἀλεξανδρείας πρόσταγμα φέρων ἐγχειρίζει τὸ αἰτηθέν. Καὶ παρελθούσης ἐκείνης ἡμέρας, νυκτὸς δρομαῖος ἥκει παρὰ τὸν ἐσχηκότα, καὶ μηχανήμασι παντοίοις, ἐπὶ ῥήματος οὑτινοσοῦν παρενθήκῃ δῆθεν· τὸ δοθὲν ὄπισθεν αὖθις λαμβάνει, καὶ οὐ καθέστηκεν οἰκονόμος, ἀναιρέτης ὀφθῆναι θᾶττον, ἕρμαιον ἡγεῖται, καὶ τῶν εἰς εὐεργεσίαν εὐκταίων ἀκρότατον· γεραιοί μοι τοῦτο καὶ γεραροί τινες ὑπεσήμηναν ἄνδρες, τῶν τῆς ἐκκλησίας προκρίτων καὶ καθεξῆς τῆς ῥηθείσης ἀριστουργίας, ταῖς Μουζάλωνος τυραννίσιν ἐπὶ πλεῖστον παραταθείσαις ὑποκλιθέντων· μετὰ τὴν τῆς ὑπερορίας ἐπάνοδον, ὄντι κλινήρει, χάριν ἐπισκέψεως ἐνδεδημηκότες· καὶ τὸ πολλὰ παρόμοια θέλειν ἐξαγεῖλαι τῷ δειμαίνειν παρέντες, καὶ παρευθὺς σπουδαίως ἀναχωρήσαντες. Ἀλλ᾽ ἐπανιτέον ἐπὶ τὰ πρότερον.

ΙΖ'.

Οὕτω μὲν ἠθετηκότες ἐν Λοπαδίῳ τὰ σφοδρὰ κατεπείξει τελεσθῆναι συντεθειμένα, καθὼς

οὐ πράγμασιν ἡμῖν ἐγνώρισται μόνοις, ἀλλὰ καὶ λόγοις, ὡς ἀνατέτραπται· καὶ ὅπως ἀπαίρουσι τῶν ἐκεῖσε· καὶ πρόσω βαίνοντες εἰς Νύμφαιον καταντῶσιν, ἀρίστην ἀρχῆθεν βασιλεῦσι καὶ δεξιὰν κατασκήνωσιν· ἔνθα Μουζάλων νοσήματι περιπίπτει, καὶ δειναῖς ἐντεῦθεν περιωδυνίαις συνέχεται, καθημέραν τῷ πάθει προποδίζων, καὶ ταῖς ἀλγηδόσιν ἐπεκτεινόμενος, ὑποχαλᾷ μέν τι τοῦ τόνου, τῆς τῶν πραγμάτων διοικήσεως οὐδαμῶς, ὡς τὸ πρὶν αὖθις μηδὲν ὃ μὴ δι᾽ αὐτοῦ τε καὶ παρ᾽ αὐτοῦ καθεστάναι γινόμενον ἀνεχόμενος. Παρὰ ταῦτα καὶ τῶν ἰατρῶν οὐχ ὅσοι τοῖς ἀνακτόροις ἀποκεκλήρωνται πρωτοΐατροι τῶν ἄλλων ὡς ὑπερέχοντες ἀρκοῦσι τούτῳ πρὸς θεραπείαν, οὐδ᾽ ὅσοι τοῖς ἐκεῖσε μέρεσιν ἐνυπάρχουσιν, ἀλλὰ καὶ κλιμάτων ἐξ ἑτέρων τῆς Ῥωμαΐδος, ἐκ πόλεων ἁπασῶν ἥκουσιν ἐπαμῦναι, συντρέχουσιν, ἄλλος ἐπ᾽ ἄλλῳ προστάγμασι καταπεμπομένοις· εὐσταλέσι νέοις, καλοῦσιν, εὐδρομοῦσιν, ἐπιταχύνουσιν. Ἔτι γε μὲν ἐκ προσκλήσεως συνδρομὴ καὶ τῶν ἐξ ἀλλοδαπῆς ἐθναρχίας, Σύρων, Ἰταλῶν καὶ τῶν ὁπουδήποτε τὸ δυνατὸν ἐχόντων εἰς ἄφιξιν, καὶ γῆς τις ἄλλη καινοτομία, καὶ κλόνος ἄλλος μικροῦ παγκόσμιος συνεισπίπτει. Καὶ τούτων οὕτω τελουμένων, καὶ τῶν ὁσημέραι προσφοιτώντων, πᾶσι τρόποις ἀνῦσαί τι συναμιλλωμένων, ἴασις οὐδαμοῦ μενοῦνγε παρὰ τοῦτο σφίσι καὶ ἀπορίᾳ καὶ μόνον οὐ θάμβος, μήτ᾽ ἰδεῖν, μήτ᾽ ἀκοῦσαι πάθος τι τοιοῦτον ὁλικῶς ἀποφαινομένοις. Ἐντεῦθεν ἐρευνῶνται πόλεις· ἐρευνῶνται κῶμαι· νέοι, γέροντες, ἡβῶντες, ἀκμάζουσαι, νεάζουσαι, γηραιαί, νόσον εἴ πού τις εὑρεθείη ταύτην νοσήσας· καὶ εἰ πρὸς τοῦτο κατενεχθείς, πάλιν ἀπαλλαγείη, τοῦ πρώτου μέν τοι γε μὴ εὑρισκόμενοι, περιττὸς λόγος ὁ τοῦ δευτέρου. Παρ᾽ ὃ καὶ οὐδεὶς ὁ φάσκων οὕτω διατεθῆναι, ὅτι μὴ τῶν τινες πρεσβυτίδων· εἴτ᾽ οὖν χαριζόμεναι πρὸς παραμυθίαν· εἴ τ᾽ ἄλλο παθοῦσαι καὶ μὴ εἰδυῖαι· καθὼς ἄρα διέγνωσται τοῖς εἴδεσι, συνδραμεῖν εἰς ἑαυτὰς καὶ ἄμφω καὶ τὰ τῆς νόσου καὶ τὰ τῆς ἀπαλλαγῆς θᾶττον ἐξησφαλίζοντο. Ἐφ᾽ ᾧ καὶ καλούμεναι καθ᾽ ἑκάστην, πολλῆς ἀναδοχῆς ἠξιοῦντο, καὶ συχνῆς τῶν αἰτουμένων ἐκπερατώσεως· δοκεῖ τοίνυν ἐπὶ τούτοις ἀέρος ἕνεκεν εὐκρασίας ἐπὶ τὴν βασιλίδα νοστῆσαι τῶν πόλεων· καὶ τὸ δόξαν ἀνύεσθαι. Καὶ βασιλεὺς μὲν χέρσῳ βαδίζων, ὁ καχεκτῶν δὲ διὰ μακρῶν εὖ ηὐτρεπισμένων νηῶν ταχίστων, εἰς ἀνακωχὴν παντοίαν θαλασσίαις ὑγραῖς κελεύθοις τίθενται τὴν ἐπάνοδον. Κἀνταῦθα τῶν αὐτῶν ἔχονται πάλιν, πάντα συγκινοῦντες, πάντα μετιόντες, εἴ πως ἀποτροπῆς τινος τοῦ δεινοῦ συμπτώματος τύχοιεν.

ΙΗ΄.

Ἀλλ᾽ οὐδὲ ἡμᾶς κρίνουσιν ἀποσχέσθαι, τοιούτοις συνεσχημένοι· πειρῶνται δ᾽ αὖθις δελεαστικοῖς καὶ ῥήμασι καὶ διανοήμασι τῷ σφῶν ἀλλοθρόῳ φρονήματι καθυποβαλεῖν, σιγῇ τελείᾳ παντάπασι· δι᾽ ἐνίων στελλομένων κατὰ διέχειαν συμπλεκόμενοι τοῖς ἐκτός· ἐμοὶ δ᾽ ὡς ἐγγίζοντι συνεχέστερον. Πλὴν ἐν τούτοις Μουζάλων τέλεον τοῖς ἐπωδύνοις ἄλγεσιν ἐκδαπανηθεὶς ἀποβάλλεται τὸ βιοῦν, ἀνονήτοις φθέγμασιν ἐν ἐσχάτοις τὸ πᾶν τῆς ἐκκλησιαστικῆς καταστροφῆς καὶ συγχύσεως, ἐξ αὐτοῦ γεγονέναι πρός τινας τῶν εὐλαβῶν τοῦ μοναδικοῦ πολιτεύματος ἐξαγγείλας· καὶ μηδὲν εἰρηκέναι τὸ παράπαν προθυμηθείς, μή τι γε δρᾶσαι τῶν εἰς διόρθωσιν· αὐτό γε μὴν τὸ ἐνσκῆψαν πάθος· παρὰ τοῦτο καὶ μή τι δι᾽ ἕτερον τοῖς συνετωτέροις κριθέν, ὅσα καὶ παρὰ φύσιν ἐλογίσθη θεήλατον. Φθάνει μέν τοι μὲν καὶ Κύπριος ἐκμετρῆσαι τὰ τῆς ζωῆς· μικρὸν ὅσον ἐπιβιοὺς μετὰ τὴν ἐκ τοῦ θρόνου κατέλευσιν, ἐν αὐταῖς ἐξόδοις ταῖς πρὸς τὴν ἕω τοῦ αὐτοκράτορος σὺν Μουζάλωνι. Καταλείπουσι δ᾽ ἡμῖν πειρατήρια καὶ θανόντες· τονώσαντες τὸν κρατοῦντα ταῖς καθ᾽ ἡμῶν πολυτρόποις ἐπιχειρήσεσι. Προσέτι πλείστους ὑπανάπτας καὶ διερεθιστὰς τῶν ἐπιτιθεμένων ἡμῖν, ἐπηρειῶν καταστήσαντες· οὓς εἰς ἀρχὰς καὶ

ἐξουσίας ἐκκλησιαστικάς, καὶ βαθμοὺς παντοίους προσήγαγον. Ἐνθαῦτα καὶ μετὰ τὸν καινὸν ἐκεῖνον θάνατον τοῦ λεχθέντος, ὁ κυριαρχῶν ἐσαῦθις ἐφ᾽ ὅλων δύο περιόδοις ἐνιαυτῶν, συχναῖς ἐπίπαν ἐπιβολαῖς ἐνσχολάσας δοκιμασίας τῆς πρίν, ἐπεὶ κατὰ τὸ δοκοῦν οὐκ εἶχε, παντελῶς ἡμᾶς κατασιγασθέντας μεταγαγεῖν πρὸς τὰ τοῦ σκοποῦ, κυροῖ τελευταῖον, μεθ᾽ οὗ καὶ πολυειδεῖς μοι λόγους διεμεύσατο, ἀπελθεῖν κἀμὲ πρὸς τὸ φρούριον, ἔνθα δὴ καὶ οἱ συγκατάκριτοι. Καὶ τουτωνὶ τῶν λόγων εἰς κοινὴν αὖθις ἀκρόασιν προτεθέντων, ἢ τοῖς ἐντεταλμένοις ὑπενδοῦναι, καὶ τελείως ἀπαλλαγῆναι καὶ τυχεῖν ἔτι γε μὲν ὧν ἄρα καὶ ἐπηγγέλλοντο, ἢ μὴ ὑπενδόντας τοὺς τρεῖς ἅμα φρουρεῖσθαι τοῖς αὐτοῖς φρουρίοις ὡς τὸ πρότερον.

ΙΘ΄.

Ἡμεῖς οὖν ἐκδεχόμενοι καθ᾽ ὥραν ἑκάστην κλῆσιν τὴν πρὸς ἀπέλευσιν· καί τινος ἐπισκέψεως τελουμένης, ὡς ἔοικε, μετὰ πάνυ τοι βραχείας ἡμέρας ἥκει τις ἀγγέλλων, ἡμέτερος οὗτος, ὡς ὁ πατριάρχης ἐπὶ ὁμολογίᾳ τοῦ ἀληθοῦς δόγματος τῶν πατέρων μετέστη τῶν ὧδε, καὶ πρὸς θεὸν ἐξεδήμησεν, ἀπολυθεὶς ὑπερορίων, καὶ φρουρῶν καὶ καθείρξεων πολυσχιδῶν πανουργευμάτων καὶ ἐνοχλήσεων. Καὶ τούτου καταφανοῦς γεγονότος, ἐπέχεται δὲ τὰ τῆς ἡμετέρας ἀπαγωγῆς· καὶ πάλιν λόγοι καταπέμπονται πρὸς ἡμᾶς ἀποστῆναι καθόλου πάσης ἀντιλογίας, καὶ μηκέτι τοῦ λοιποῦ διενίστασθαι. Κἀμοῦ τῶν προτέρων ὡσαύτως ἐξεχομένου, καὶ τὸν ἐναπολειφθέντα τοῖς ζῶσι συγκατάδικον ἥξειν· εἰ θέλουσιν εἰς συμβάσεις ἡμᾶς ἱκέσθαι κατὰ τοὺς εἰκότας λόγους, πειθοῦς οὐχὶ δυναστείας ἐκκαλουμένου, τραχυνόμενοι καθ᾽ ἡμῶν ἑωρῶντο καὶ ὀργιζόμενοι· μόλις ὅμως καί τινος ἑτέρας αἰτίας ἀναφανείσης. Ἡ δὲ ἦν τὸ βίβλον, ἣν οὗτος συντέταχε πραγματείαν τὴν παροῦσαν ὑπόθεσιν ποιουμένην, εὑρεθεῖσαν ἐκεῖσε· πρὸς τούτους τὸν αὐσονάρχην λέγω σταλῆναι παραγενέσθαι προστάττουσι, καὶ τὸν ἄξοντα καθιστῶσιν ἐκ καταλόγου τοῦ τῶν Βαράγκων, ὃν ἄνω που δραστήριον ὑπηρέτην ἠγγείλαμεν. Καὶ δὴ παραγίνεται· καὶ πρὸς τὰ ἐν Βλαχέρναις βασίλεια, καθὼς ὑπῆρχε κεκελευσμένον ἀχθείς, κατασκηνοῖ τηρούμενος ἐν οἰκίσκῳ βραχεί τινι, καὶ ταῖς δι᾽ ἀποστολῶν πλείσταις δεξιώσεσιν ἐντυγχάνει πρὸς βασιλέως· καὶ γαληνίους ἀκούει λόγους ἐπαγωγοὺς πρὸς οὓς ἀπολογηθῆναι δεῆσαν. Ἐπειδὴ καὶ αὐτὸς παραπλησίως ἡμᾶς ἀνεζήτει, καλούμεθα. Καὶ πρῶτα μὲν ἐπ᾽ ὀλίγον ἑνωθέντες ἄμφω ἐπὶ τῷ ῥηθέντι στενῷ δωματίῳ, μετέπειτα θᾶττον ἐκείνης ἡμέρας, τὰς ἀνακτορικὰς εἴσιμεν ἑστίας ἐπιταχυνθέντες καὶ τὸν αὐτοκράτορα καθωρῶμεν, ἡμᾶς ἀσμένως δεξάμενον. Τήν τ᾽ ὀφειλομένην προσκύνησιν ἀπονείμαντες, θεώμεθα καθεξῆς τὴν σύζυγον αὐγοῦσταν, ἣν ἥκειστα κατιδεῖν πρότερον ἔσχομεν, ἁρμοσθεῖσαν αὐτῷ τῷ καιρῷ τῆς ἡμῶν ἐξωθήσεως, εἶτα τὸν υἱόν τε καὶ βασιλέα, τέλειον εἰς ἄνδρα καθεστηκότα, καὶ τοὺς λοιποὺς τῶν υἱέων καθ᾽ ἡλικίαν, ἄχρις ἀρτιγεννήτου παιδὸς θηλείας καὶ ἐπιεικῶς ἁπαλῆς. Παρῆν τις καὶ τῶν νεοπλαστουργήτων εἰς ποιμανσίαν καὶ πρώτιστος κομιδῆ τῶν κατάκρως ἡμῖν ἐναντιουμένων, ἐπὶ μαρτυρίᾳ τε καὶ εἰδήσει τῶν ὧν ὁ κρατῶν μεθ᾽ ἡμῶν ὁμιλήσειεν, ὡς ἦν ἐκ τῶν φαινομένων τεκμήρασθαι. Τούτῳ γὰρ καὶ τοῖς κατ᾽ αὐτὸν ἀρέσκειν καὶ προσκεῖσθαι περὶ πλείστου πεποίητο. Λόγων οὐκοῦν προϊμένων ἡμῖν ἡδέων πρὸς τοῦ σκηπτούχου, καὶ πολλῆς ἱλαρότητος πεπλησμένων, εἰς τὸν ἄνακτα καὶ υἱόν, καὶ τοὺς ἑτέρους ἐφεξῆς τῶν φιλτάτων, ἔχωμεν εἰδέναι, διερωτώμεθα· καὶ τὸν βασιλέα κατανενευκότες γινώσκειν, ἀκροώμεθα παρευθύς. Ἀλλ᾽ οὐχὶ τοιοῦτον ὁποῖος ὁρᾶται τὰ νῦν· ἦν γὰρ ἔτι μειράκιον ἀληθῶς ὁπηνίκα τοῦτον ἐνωπτριζόμεθα· πρὸς δέ γε τὸ τῶν ἄλλων· ἔπειτα τῆς ἀποκρίσεως ἡμῖν ἀνανεύσεσι ἐδηλοῦτο καὶ τῶν δεόντων ἀκούομεν ἄρα, μήθ᾽ ὁρᾶν ἡμᾶς τούσδε, μήτ᾽ εἰδέναι τὸ σύνολον. Ἐπὶ τούτοις ἱκανῆς

αὖθις ὁμιλίας προσβάσης, τὸ πᾶν εὐμενείας καὶ διαθέσεως παραστατικῆς ἀπολυόμεθα πρὸς τὸ ἀφ᾽ οὗ καὶ ἐκλήθημεν οἴκημα μετὰ φρουρᾶς τῆς ἐκ διαφόρων ταγμάτων σκηνώσαντες.

Κ΄.

Καὶ τὴν ἑξῆς, ἀνατείλαντος ἡλίου, καὶ τὸ περίγειον καταλάμποντος, καλούμεθα πάλιν, τῶν αὐτῶν βασιλείων ἔνδον γενόμενοι ἐκ δόμων ὧν καὶ τὴν χθὲς, καὶ παραυτίκα προσκάθηντο μὲν ἀμφότεροι βασιλεῖς πατὴρ υἱῷ δηλονότι συνάμα θρόνων ἐφ᾽ ἑκατέρων βασιλικῶν. Εἶτα δὲ καὶ οἱ παρεῖναι προστεταγμένοι, προτραπὲν, ἀξιοῦνται καθέδρας, ὅ τε ῥηθεὶς τῶν νεοτελέστων προσηγορίᾳ χειροθεσίας καὶ λοιποὶ τῶν τῆς συγκλήτου, λόγῳ καὶ σοφίᾳ περικλεεῖς. Καθεσθῆναι καὶ αὐτοὶ κελευόμεθα· καὶ πληροῦται τὰ τῆς κελεύσεως. Καὶ τὸ ἐντεῦθεν ἄρχεται τοῦ λέγειν ὁ σκηπτροκράτωρ, πλατεῖαν ὅ τι δημηγορίαν συνθέμενος. Λήγει μέν τοι πρὸς τὰ τοῦ τόμου, καὶ περὶ ὁμωνυμίας λόγους συνείρει, μηδαμῶς αὐτὴν ἐπὶ τῇ τοῦ θείου πνεύματος ἐκπορεύσει δέχεσθαι, μήτε φάσκειν διατεινόμενος· πρὸς ἃ πυνθανώμεθα δι᾽ ὀλίγου· σῶα τὸ λοιπὸν τὰ τοῦ κώδικος, καὶ κανόσι τοῖς τῆς ὀρθῆς δόξης ἀνέγκλητα. Τούτου τοῦ πάνυ συντόμου τὴν κατάνευσιν ἀναγκαίαν ἔχοντος εἰς ἀπαίτησιν, εἰ μὴ βούλοιντο τὴν ἐναντίαν ἀκολουθεῖν, ἐπείπερ οὐκ ἦν θαῤῥοῦντος τὸ δοῦναι, τὰ τῆς ἀπολογίας οἰκονομῶν οὕτω φησίν· Ἔδοξέ τισιν, ὡς ὁ τόμος ἐναντίον ἔχει τι καὶ ἀλλότριον· καὶ πολλοῖς παρὰ τούτου σκανδάλου γέγονεν αἴτιος, ὃν ἐξετάσαντες, εὕρομεν τὸ τὴν κακὴν ὑπόνοιαν παρεμφαῖνον, μὴ θέσεως ἔχον καλῶς, οὐ μὴν εἰς ἄτοπον ἔννοιαν ἀπαγόμενον.

ΚΑ΄.

Ἐφ᾽ ᾧ καὶ διορθωσάμενοι πρὸς τὸ κρεῖττον ἠμείψαμεν· ἄλλων μὲν οὖν προσδιαλεγομένων ἡμῖν· ἐπειδὴ πολλοὶ καὶ πάντες σχεδὸν οἱ ἀντιφερόμενοι, καὶ πρὸς ἄλλο τῶν, ἐφ᾽ οἷς ἀριδήλως οὗτοι γνώμης ἐθελοκάκου προσφέρειν καθορῶνται, καὶ ῥήματα καὶ διανοήματα σχετλιάσαντες ἂν εἰρήκειμεν. Ὡς εἴθε πρὸς τοῦτο διαγνωμόνων ἐτύχομέν ποθεν ἔξωθεν, μή τινι προσκειμένων ὅπως ποτέ. Ἐνταῦθα δὲ βασιλεὺς ὅπουπερ ὁ ἀντιφθεγγόμενος. καὶ πρὸς τοιαῦτα, εἰ καὶ τῇ δυνάμει ταὐτὰ, τῷ γε προδήλῳ, κἀκείνων ἐπέκεινα, πῶς ἂν εἴχομεν διαιτητῶν ὅλως μνησθῆναι, ἢ τιποσῶς ἕτερον φάναι τῶν ὧν ὁ ζῆλος παρώτρυνε, προκαταστήσας, καὶ ταῦτα διὰ μηνύσεων, μεθ᾽ ἡμερότητος ἡμᾶς λέγειν τῷ ἐπάγειν· ἐπεὶ καὶ οὕτως ἀκοῦσαι γενήσεται, ὡς ἀμβλύνειν ἔνθεν τὰ τοῦ ζήλου τεχνώμενος. Πλὴν ἐροῦμεν ὡς τηνικαῦτα φθάσαντες ἔφημεν, ἀλλὰ καὶ οὕτω πρὸς τοὺς διαληφθέντας ἐπιστήμονας ἄνδρας, μέρος ὄντας τοῦ βασιλείου κράτους, καὶ ἡμῖν ἀντικαταστάντας, ἐφ᾽ ᾧ καὶ συνήλθοσαν καὶ λοιποὺς οἳ καθ᾽ ἡμῶν ἀτεχνῶς μυρίοι καθ᾽ ἑκάστην ἐπιπηδῶσι, τὰ τοῦ λόγου μετοχετεύσαντες, καὶ τοῦτο δεόντως, τὸ μὲν αἰδοῦς ἀφοσιώσει πρὸς περιωπὴν ἀνακτορικὴν ἐσχάτην· τὸ δὲ τοῖς πολλοῖς ὡς μὴ δόξωμεν, ἐναβρύνεσθαι, παρρησίαις ταῖς πρὸς κρατοῦντα καὶ συχναῖς ἀντιρρημοσύναις, καίτοι προτετραμμένων ἐν τοῖς τοιούτοις, τὸ λαλεῖν ἐναντίον βασιλέων, καὶ μὴ αἰσχύνεσθαι.

ΚΒ΄.

Ὃ καὶ ἡμῖν τῷ τότε κατὰ πᾶσαν ἀνάγκην ἰσχύει τοῦ τὰ ἀσθενῆ δυναμοῦντος ἐνεργηθὲν, ἔνθα καὶ παρῆν δῆτα τὸ φωνεῖν ἐναντίον, νῦν οὐκ ἀπεικὸς ὅπῃ μὴ τοῦτο τοιουτοτρόπως οἰκονομηθῆναί τε καὶ μετενεχθῆναι· οἳ καὶ τῶν ἄλλως ἐπὶ τοσούτοις χρόνοις παρηκολουθηκυιῶν ἐπηρειῶν διαφόρων· ῥήμασί τε καὶ πράγμασιν, οὗ χρεὼν, ἀμυδράττα παραδηλοῦν προθυμούμεθα, καὶ ταῦτα πεφεισμένως, καὶ οἷον ὡς ἐν παραδρομῇ· εἰ δὲ ἐκείνων τῶν τότε λαληθέντων τὰς ἀγγελίας ποιούμενοι προσθεῖναί τινα τῶν καταλειφθέντων σφισὶ, τοῦ καιροῦ μὴ διδόντος ὀφθείημεν, οὐ καινὸν ἔσται πάντως· οἷς

οὐ μόνον τῆς αὐτῆς καὶ τάδε πραγματείας καὶ οὐχ ἑτέρας, ἀλλ' ὅτι καὶ τῆς αὐτῆς ἐσεῖται διανοίας, καὶ τῆς αὐτῆς ἐκείνοις ἁρμονίας, καὶ τῆς αὐτῆς ἀλληλουχίας ἐχόμενα. Καὶ δὴ τρεπτέον πρὸς οὓς ἄρα καὶ λέγειν προυθέμεθα· θέσεως οὐκοῦν σημασίας οὐ καλῆς, τὸ δόξαν ἄτοπον ἀποφαίνεσθε, καὶ τὸν θέμενον πᾶς οἶδε, καὶ ἡμεῖς συνωμολογοῦμεν. τῶν τὰ πρῶτα φερομένων, λόγους ἐπιπλέκειν καὶ συντιθέναι, καὶ τῶν ἀρίστων εἰδότων τὰς τῆς διανοίας γραφαῖς ἐκφερομυθεῖν καὶ παριστάνειν, ὥσπερ ὑπόψια, καὶ οὐχ οἷον ἀπερισκέπτως, ἄλλο μὲν λέγειν ἐθέλειν, ἄλλο δὲ παρεμφαινούσας, ὡς ἡμεῖς φατὲ, ῥήσεις προφέρειν, τοῖς περὶ θεοῦ λόγοις, καὶ ταῦτα καὶ τοιοῦτον ὁποῖον ἂν ἔκφυλον εἴη καὶ δέοιτο διορθώσεως· οὐδεὶς ὃς τοῦτο κρινεῖ παραδοχῆς ὅλως ἄξιον. Ἀλλ' ἦν ὡς ἀληθῶς, θέσεως μὲν καλῶς ἔχον, καὶ ἁρμονίας· νόος δὲ τυγχάνον, καὶ φρονήματος ἀλλοκότου, κατὰ συνοίδατε καὶ ὑμεῖς καὶ περικαλύπτειν πειρᾶσθε, τὰ πᾶσαν περικάλυψιν ἐκκρουόμενα, ὡς εἴ τις σκότους τοῖς ἁπάντων ὀφθαλμοῖς ἐπικεχυμένου, πειρῷτο τὴν αἴσθησιν παρακρούεσθαι. μὴ τῇ τοῦ φωτὸς ἐκπτώσει, παρουσίαν σκότους, ἔμφασιν δὲ μᾶλλον εἶναι, θέσει μὴ καλῇ. Καὶ τοιούτοις ματαίοις εὑρέμασιν. ἀλλὰ ταῦτ' οὕτω διορθωσάμενοι, πάλιν ἡμῖν ἐπιτεθήσεσθε φάσκοντες, ὡς ὁμωνυμοῦν ἥκιστα τὴν ἐκπόρευσιν καταγγείλαντες· βουλόμεθα μηκέτι δι' υἱοῦ ὕπαρξιν λέγειν ὁντιναοῦν· οἴδαμεν ὡς οἱ θεῖοι πατέρες διάφορον σημαίνειν τρόπον ὑπάρξεως ἡρμηνεύκασι τὴν ἐκπόρευσιν, καὶ ὁμολογοῦμεν τοῦτο καὶ στέργομεν· καὶ οὕτω νοήσομέν τε καὶ ἐκληψόμεθα· δι' υἱοῦ δ' ὕπαρξιν οὐκ εἰρήκασι. Διὰ τοῦτο καὶ τὴν ἐκπορεύεσθαι δι' υἱοῦ ῥῆσιν, δεῖν ἀνεξήγητον ὑπάρχειν ἀποφαινόμεθα. – Καὶ πολλοῖς εἰς τοῦτο χρήσεσθε λόγοις θωπευτικοῖς καὶ ἡδίστοις· εἰπεῖν δὲ κυρίως ἀπατηλοῖς καὶ ὑφάλοις· ἐπακουοὺς ἡμᾶς ἕξειν, εἰς τὸ τὴν δι' υἱοῦ καθολίγον ὕπαρξιν, ὡς ἄτοπον ἀθετῆσαι· κἀντεῦθεν ὑποδίκους εἰληφέναι καὶ οἴκοθεν, παρ' ὅπερ ὑμῖν ἡ πᾶσα σπουδὴ καὶ τὸ βλασφημεῖν τε καὶ διορθοῦσθαι καὶ τὸ τοῖς αὐτοῖς αὖ περιπίπτειν· καὶ τὸ μυρία δρᾶσαι τῶν ἀθεμίτων· εἰ πλήθεσι μόνον ἀλόγῳ προλήψει τέλεον συνυπαγομένοις, τὴν, ἣν προέθεσθε, δοξομανίαν ἄρχῆθεν κερδήσετε.

ΚΓ΄.

Πλὴν ἀγαπητὸν ἂν ἡμῖν κατεφάνη, πρό γε τῶν ἄλλων, εἰ καὶ αὐτὴν κατιδεῖν ἐξεγένετο τὴν διόρθωσιν, ἣν ἐμφανίσειν ὑποσχόμενοι παρρησίᾳ, καταλελοίπατε· τὰ τῆς ῥήσεως ὅμως ἔχοντες, ὡς προτοτύπως ὑπεγράφη πᾶσιν ὑμῖν καὶ ἐβεβαιώθη, καὶ τὰ τῆς διορθώσεως οἷς ἡδρασμένα πέφυκε, σχοίημεν ἔκ τε τῶν εἰρημένων καὶ τῶν ῥηθησομένων εἰσέπειτα· τοίνυν εὐγνωμόνων ἀνακηρύττειν, εἰς τόδε σαφηνείας παραδεδόσθαι τοῖς θεοφόροις τὸ ἐκπορεύεσθαι· πρὸς ὃ καὶ τῶν πάνυ τι βραχέων ἐρήσομαι· καθολικὰ τὰ τῆς ἀναπτύξεως ταύτης καὶ ἀδιάστικτα, ἢ καί τινα κεκτημένα διαστολήν; Ἐρεῖτε διατόρως ὡς ἀδιάστικτα. Καὶ ποία τῷ λόγῳ τὸ λοιπὸν ἡ ἀκολουθία, πᾶσιν ἁπανταχοῦ κραυγάζειν, τὰ κατ' αὐτὴν ἀδιαστόλως ἁρμόττειν, ἐν δέ γε τοῖς δι' υἱοῦ, μὴ τὸ δεκτὸν ἔχειν λέγειν, ἀλλὰ περείσαγειν τὸ ἀνεξήγητον· συντρέχειν οἴδασι ταῦτα, συνεῖναι, συμφωνεῖν ὅλως, ἀκολουθεῖν ὁπωσοῦν, ὅτι μὴ μᾶλλον ἀναιρετικὰ πρὸς ἄλληλα καθεστάναι, καὶ πολέμια καὶ κατάκρως ἀντίρροπα· εἶτα πῶς αὐτὰ δὴ τὰ τῆς ὁμωνυμίας, ἃ διαδιδράσκειν καὶ παντελῶς ἀπωθεῖσθαι προανετάξατε, καὶ ὧν ἐπὶ διεκφεύξει, τὰ τῆς ἀδομένης διορθώσεως ἔθεσθε, συνορᾶν οὐ βούλεσθε, συνιστῶντες, διατρανοῦντες, μεγαληγοροῦντες ἀναφανδόν; Ἰδοὺ γὰρ ἐκπόρευσις, ἡ τῆς οὐσιώδους ὑπάρξεως παραστατική, καὶ κοινῶς ἀμφοῖν ὡμολογημένη καθ' ἡμᾶς ἐκπόρευσις, ἡ μὴ δεῖν ἔννοιαν ἐπιφέρεσθαι διατεταγμένη· καὶ παρίημι νῦν φάσκειν, ὡς ἐκείνης ἐπὶ ἀποτροπῇ, ταύτης ἡ νομοθεσία, καὶ παρενθήκη. Τοῦτο γὰρ εἰ μὴ εἴη, καθὰ δὴ καὶ ἐνίστασθε, πάντως ἐκείνην λήψεσθε, κἀνταῦθα καὶ μὴ ἑκόν-

τες· καὶ τὸ ἀμφιβάλλον οὐδέν· ἀλλ' ἔστω καϑ' ἑαυτὴν αὕτη· καϑόσον ἄρα καὶ βούλεσϑε. Τί καὶ ἔτι; Ζυγομαχήσετε μὴ δύο ταύτας εἶναι περιφανῶς, τὴν ἑρμηνείας δεκτικήν, καὶ τὴν ἀνερμήνευτον; μὴ σαφῆ τὴν ὁμωνυμίαν; μὴ τὸν ἔμετον ἐπὶ τοὺς ἐμέσαντας ἐπιστρέφοντα; Τί πονεῖτε διακενῆς; Τί τὸ ἀνεξήγητον περικάλυμμα τίϑεσϑε τῆς τηλίκης ὑμῶν διαμάχης; πρὸς πατρίους παραδόσεις, πρὸς κοινὰς ἐννοίας, εἴπερ κοιναὶ πᾶσαι τῶν θεηγόρων· πρὸς ϑεολογικὰς ἀμεταπτώτους διδασκαλίας ἐκ σφοδρᾶς μανίας τῆς καϑ' ἡμῶν; Πῶς ἐκφεύξεσϑε τὸ ὁμωνυμοῦν, μὴ τὴν τῆς πικρίας ῥίζαν, τὴν ἀπάρνησιν δηλαδή, ταύτην δι' υἱοῦ ἐκπόρευσιν, δι' υἱοῦ ὕπαρξιν παριστάνειν ἀναλλοιώτως ταμόντες; Ἀλλὰ περιϑάλποντες ἔτι καὶ περιέποντες· ἐξ ἧς κάκιστον τοῦτο, καὶ συχναὶ παραφυάδες ἀτόπων ἀνεφύησαν ἕτεραι· τὴν τοῦ Μοσχάμπαρ φημὶ καὶ λοιπὰς περὶ ὧν οὐκ ἄρτι λέγειν καιρός. Σύνετε γὰρ εἰ μὴ ἐκεῖϑεν βλαστὸς, ὃν ἐκτῖλαι παρεβιάσϑητε, καὶ διωρϑωκέναι ϑρασύνεσϑε· μεϑ' ὃν εἰ μὴ καὶ πάλιν ἕτερος οὗτος, ὁ τὸ ἀνερμήνευτον προβαλλόμενος, πῶς καὶ τούτων χωρὶς ἐκκλίνητε τὴν ὁμωνυμίαν, οἱ τὴν δι' υἱοῦ ὕπαρξιν, ὡς ἄλλο παρὰ τὴν δι' υἱοῦ ἐκπόρευσιν κατακρίναντες ἀτελεύτητα· καὶ τοσοῦτον τῆς θείας ἀνοχῆς καταφρυαξάμενοι· τοῦτο γὰρ αὐτὸ τὸ τῆς ἀϑετήσεως, κἂν εἰ πᾶν εἶδος ἡμῖν εὑρεσιλογίας ἀπείη, τὰ τῆς βλασφημίας ἀποφήνειεν ἀδιόρϑωτα; Πῶς ἀποτινάξεσϑε ταύτην, οἱ μέσαις ἐν διαλέξεσι ταῖσδε τὸ ταυτίζειν ὕπαρξιν καὶ ἐκπόρευσιν ὡς ἔγκλημα τῶν μεγίστων ἡμῖν ἐπενηνοχότες, καὶ τῇ ἐκ ϑερμοῦ τοῦ ζήλου ῥύμῃ σφοδρᾷ τῆς ἡμετέρας πρὸς τοῦτο καταδοχῆς τε καὶ κατανεύσεως στάντες καὶ τοῦ πρόσω λέγειν εἰρχϑέντες τὸ τέλεον;

ΚΔ'.

Ἡμῖν μὲν οὖν ὡς καὶ αὖϑις φαίημεν, ταὐτὸν ἐκπόρευσίς τε καὶ ὕπαρξις ἐπὶ τοῦ ζωαρχικοῦ καὶ ὑπερτελείου πνεύματος ἀληθῶς καὶ μηδαμῶς ἑτέρου θάτερον ἐξιστάμενον, ἀλλ' ὅπερ ἐκεῖνο μάλιστα καταλαμβανόμενον· ἐπεὶ τοῖς τῶν θείων ὑφηγηταῖς παράδοσις αὕτη καὶ ὅρος οὗτος ἀμεταθέτως ἔχων, τρόπον ἄλλον. καὶ διάφορον τρόπον ὑπάρξεως τὴν ἐκπόρευσιν εἶναι παρὰ τὸν τοῦ υἱοῦ, οὗπερ ἡ γέννησις καὶ παρὰ τοῦτο μεγαλοφώνως τὴν ὑπερφυῆ καὶ ὑπερούσιον τοῦ πνεύματος ὕπαρξιν, ἐκπόρευσιν καταγγέλλομεν, καὶ ταύτην ἐκείνην ἀδιαφόρως ἀνακηρύττομεν ἔν τε ταῖς ἐκ πατρὸς θεολογίαις ἁπάσαις, ἔν τε ταῖς δι' υἱοῦ θάτερον ὅπερ ἕτερον εἰδότες ἀναμφιλέκτως, κατὰ τοὺς κυρίως ἔχοντας τῶν ὅρων καὶ ἀντιστρέφοντας· ὃ γὰρ ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, τοῦτ' ἄνθρωπος, καὶ ὅπερ ἄνθρωπος ἐκεῖνο διαφανέστατα, καὶ ἡμεῖς μὲν οὕτω. Πῶς δὲ οὐχ ἡμῖν ἔσται τὰ τούτων ἀντιδιῃρημένα κατὰ πᾶσαν ἀνάγκην· ὧν ἄρα τὸ μὴ ταὐτὸν, καὶ ὧν μὴ κοινὸς ὅρος, καὶ ὧν τὸ μὴ ἀντιστρέφειν, ἃ τῆς ὁμωνυμίας ἀναντιῤῥήτως, ὡς ἴστε πάντως περὶ ταῦτα δεινοὶ πεφυκότες· ἡμῖν γὰρ τὸ ἁπλοϊκῶς τοῖς τῶν θεηγόρων ἐνασμενίζειν· εἴπερ καθ' ἡμῶν τὸ ταυτίζειν εἰς καταδίκην καὶ λόγοις καὶ πράγμασι ϑέμενοι; Νῦν αὖθις οὐχ ἧττον ἐμμένετε τοῖς αὐτοῖς. Οὐκ ἔστιν ὑμῖν ὡς οὐκ ἔσται ταῦτα, κἂν εἰ τὸ πᾶν μεταϑείητε.

ΚΕ'.

Τί δὲ τὸ λέγειν πρὸς τούτοις μὴ ἔννοιαν δεῖν λαμβάνειν, ὡς ἂν καὶ καθ' ἑαυτὸν θεωρήσωμεν; ὄντως γὰρ ἀπορεῖν ἔστι καὶ τὸ ἀνενόητον, εἰ βούλεσθε δὲ τὸ ἀδιανόητον, τὴν ἀπόφασιν ὑμῶν ἔχειν μᾶλλον, οὐ τὰ ἐφ' οἷς ἤδη προῆκται συντίθεμαι. Οὐ γὰρ ἂν οὕτως ἀποφήνασθαι φαίητε, τοῦ ὑπὲρ ἔννοιαν εἰς παράστασιν· ἐπεὶ τίς λόγος ὁ πείσων ἐκ πατρὸς μὲν ἐκπορεύεσϑαι φάσκειν, καὶ τὴν παραδεδομένην δέχεσϑαι διασάφησιν, ἐν οἷς δὲ τὸ, δι' υἱοῦ ἐκπορεύεσθαι· ταύτην ἀπωθεῖσϑαι; Κἀπὶ τῇσδε μάλα θαῤῥαλέως ἀποσοβήσει δράττεσθαι τοῦ ὑπὲρ διάνοιαν, ἢ τοῦτο μὲν ἐνταυθοῖ δώσετε στερεμνίως· ἐκεῖ δὲ ἐν οἷς τὸ ἐκ πατρὸς· - ἐκεῖνα στέργοντες, μὴ προσκειμένου τοῦ· -

δι᾽υἱοῦ - ἀφαιρήσετε, κατὰ τὸ ἐκ τῶν οὕτω προηγμένων λόγων ἑπόμενον. Καὶ εἰ τοῦτο, λεπτοὶ τὴν θεολογίαν ὄντως ὑμεῖς, ταῦθ᾽ οὕτω διευκρινοῦντες καὶ σαφηνίζοντες ὑψηλότατα· ἔτι γε μὴν ἔχοντες ἕνα τῶν – δι᾽ υἱοῦ – τεθεολογηκότων διδασκάλων τῆς εὐσεβίας – ἐκ πατρὸς δι᾽ υἱοῦ ἐκπορευόμενον – εἰρηκότα· καὶ τὸ. ἀφράστως μέσον προσθέμενον εἰς συγκρότησιν καθ᾽ ὑμᾶς. τούτου δὴ τοῦ ὑπερνεφοῦς θεωρήματος· ἀφελῶς δ᾽ ἡμεῖς τε. καὶ χαμερπῶς. ἐπ᾽ ἀμφοῖν στοιχοῦντες, οἷς ἡ ἐκπόρευσις ἐκ πατρὸς, οἷς τ᾽ ἐκ πατρὸς δι᾽ υἱοῦ – ταῖς τῆς αὐτῆς διευλυτώσεως θέσεσι θεολογικαῖς· ἀμφοῖν κατ᾽ἴσον καὶ τὸ ὑπὲρ νοῦν φρονοῦμεν ἐνυπάρχειν καὶ τὸ ὑπὲρ κατάληψιν καὶ τὸν τρόπον αὐτὸν τῆς ὑπάρξεως τὸ ὑπὲρ ἔννοιαν ἔχειν ὁμολογοῦμεν· οὐχὶ κατὰ σημασίαν ῥῆσιν δὴ τὴν ἐκπόρευσιν. Οτι μὲν γὰρ ἐκ πατρὸς ὑπάρχει, καὶ ὅτι δι᾽ υἱοῦ ὑπάρχει τὸ πνεῦμα τὸ ἅγιον, οἴδαμεν καὶ πιστεύομεν, καὶ ὡς ἡ ὑπέρχρονος ὕπαρξις αὕτη τοῖς θεοφορήτοις ἐκπόρευσις κατωνόμασται. Καὶ τὸ δῆλον ἤδε σφίσιν ἔσχεν ἐντεῦθεν κατὰ διάνοιαν τίς δέ γε καὶ ὁποῖα; μόνῃ περαυτῇ τῇ ὑπερουσίῳ τριάδι γνωστή. Κατὰ γὰρ τὸν προσεχῶς φάμενον θεολόγον. ἡμῖν ἄφραστος πάντῃ καὶ ἀνερμήνευτος· καθὰ δὴ καὶ ἡ γένεσις ἐπὶ τοῦ υἱοῦ· τὸν τρόπον μόνον αὐτοῦ τῆς ἐκ πατρὸς οὐσιώδους ὑπάρξεως παριστῶσα. παντελῶς ἡμῖν ἔστιν ἐπὶ πλέον ἄρρητος καὶ ἀνεξερεύνητος.

Κϛ΄.

Καὶ τούτων οὕτως ἐχόντων· ἵν᾽ αὖθις τὸν λόγον ἐπαναλάβοιμι. τὴν ἀπόφασιν ὑμῶν, ἢ προσταγὴν, οὐχ ὧν αὐτὴν ἕνεκα προηγάγετε, φημὶ κεκτῆσθαι τὸ ἀνεννόητον· ἐφ᾽ ᾧ καὶ διαπορούμενος ἐρωτῶ· τῆς ῥήσεως οὕτω κειμένης· ἐκ πατρὸς δι᾽ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι. πότερον ὅλῃ ταύτῃ προσαρμοστέον, τὸ δεῖν τηρεῖσθαι πάσης ἑρμηνείας ἐκτὸς, ἢ τὸ ἐκ πατρὸς ἐκπορεύεσθαι λαβόντας ἰδίως εἰς τὴν δοκοῦσαν ἡμῖν ἐνταῦθα καταλλήλως ἔχειν πατρικὴν διασάφησιν. τὸ δι᾽ υἱοῦ θεωρῆσαι διὰ μέσου χωρίς. Αλλ᾽εἰ τοῦτο, πάλιν ὧδε ζήτησις ἀνακύπτουσα, πότερον ῥήματι τῶν ἔξωθεν, ἀπαιτοῦντος τοῦ λόγου χρὴ προσλαβέσθαι κατ᾽ ἔλλειψιν· ἢ δὶς συνεκδοχικῶς αὐτὸ δῆτα τὸ ἐκπορεύεσθαι· ὁπότερον γοῦν ἐκβάλλει τὸ ἀνεξήγητον. Εἰ μὲν γὰρ τὸ πρῶτον ἔσται πάντως ἕν τι τῶν ἡμῖν φίλων, καὶ ἥκιστα παρὰ τοῦτο τοδὶ, τῶν τοῦ λέγειν ὕπαρξιν εἰς ἀναίρεσιν, ἤγουν τῶν φανεροῦσθαι· χορηγεῖσθαι· δίδοσθαι· πέμπεσθαι· Καὶ ὁ δεχόμενος δεχέσθω, μήδ᾽ αὐτοὺς ἄρα τοὺς τῶν γραμματιστῶν νοηματουργοῦντας εὑρίσκων ἐξαισίως· τοιαύτας ἐλλείψεις τε καὶ μεταθέσεις ἐπὶ πλοκῇ τῶν σφετέρων νοημάτων συνείροντας. Εἰ δέ γε τὸ δεύτερον· οὐκ ἔτι καθ᾽ ἡμᾶς, λόγοις δ᾽ ὡς ἐπίπαν ἀκραιφνεστάτοις τὸ τῆς διανοίας ἀπαράδεκτον ἐξωσθήσεται. Εἰ γὰρ ἡ δι᾽ υἱοῦ φωνὴ τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἔχει, καὶ πρὸς ἐκείνην τὰ κατ᾽ αὐτὴν ἀναφέρει κατὰ τὸν πολὺν τὰ θεῖα μέγαν Βασίλειον, πῶς ἂν ἄλλως ἐάσειε ῥῆμα τὸ κείμενον ἐκληφθῆναι, παρὸ καθέστηκεν εἰλημμένον, ἐφ᾽ οὗπερ ἢ ἐκ; Οὐμενοῦν ὅλως ἑτέρως ἐνταῦθα μὴ ὅτι γε· ἀλλ᾽ οὐδ᾽ εἰ δίχα τοῦ – ἐκ πατρὸς – εἰρημένον ἐτύγχανεν· Εσχε γὰρ ἂν καὶ οὕτω πρὸς αὐτὸ τὴν ἀναφορὰν ἐναργέστατα· λείπεται δὴ τὸ πρώτως διαιρεθὲν πρὸς πᾶσαν ῥῆσιν τὴν προτεθεῖσαν. τὸ. μηδεμιᾶς εἰσαγωγὴν παρεῖναι σημασίας ἁρμόττεσθαι. Καὶ τοῦ λοιποῦ φωναὶ μὲν ἔσονται διηρθρωμέναι λέξεις αἱ κατ᾽ αὐτήν· ἄσημοι δὲ τῶν καθ᾽ ἡμᾶς ὁποῖαι φιλοσόφων, ἃς καὶ κατ᾽ ὄνομα φάναι φειδοῖ τοῦ βλασφήμου παρίημι. Τοῦτό γε μὴν ὅπῃ τρέποιτο καὶ πρὸς οὓς, οἶδεν ὁ πάντ᾽ ἐφορῶν, καὶ ὑμεῖς εὖ οἶδ᾽ ὅτι συνίετε. Πῶς δὲ προσέτι καὶ Μάξιμος ὁ κατὰ φερωνυμίαν μέγιστος ἀληθῶς, οὐκ εἰκῇ βοῶν ἐλεγχθήσεται παραδιδοὺς τε μάτην καὶ διαμαρτυρόμενος· φωνὰς μὲν πολλάκις τοὺς θεοσόφους πατέρας παραχωρεῖν, ἐννοίας δὲ οὐδαμῶς· ὅτι μὴ ἐν συλλαβαῖς, ἀλλ᾽ ἐν νοήμασί τε καὶ πράγμασι τὸ τῆς σωτηρίας ἡμῶν ὑπάρχει μυστήριον. Αλλὰ τούτων μὴ ἐπιστρεφόμενοι τὸ

παράπαν· τῶν τοῦ Θεωδωρήτου μᾶλλον ἀντιποιήσεσθε, καὶ τὸν μὲν θεσπέσιον Κύριλλον εἰδότα καλῶς ἐπιτιμηθῆναι, τῆς ἀπολογίας αὐτοῦ δεδραγμένοι φανεῖτε. Δικαίως δὲ καὶ γενναίως ἐπιτετιμηκότα Θεωδώρητον γνωματεύσετε, οἷς ἐκείνου ἴδιον υἱοῦ τὸ πνεῦμα φαμένου, στεῤῥῶς ἐπιλαμβανόμενος οὗτος· Εἰ μὲν ὡς ὁμοφυὲς εἰρήκει φησὶ συνομολογήσομεν· εἰδ' ὡς ἐξ υἱοῦ καὶ δι' υἱοῦ τὴν ὕπαρξιν ἔχων ὡς βλάσφημον τοῦτο καὶ δυσσεβὲς ἀποῤῥίψομεν.

ΚΖ'.

Καὶ πρὸς μὲν τὸ συναποβληθῆναι τὸ ταῦτα περιλαμβάνον καὶ συνυπαχθῆναι τοῖς λοιποῖς ἀναθέματι κεφαλαίοις τοῖς κατὰ Κυρίλλου Θεωδωρήτῳ συντεταγμένοις, δόξετέ τι λέγειν μὴ τὰ τῆς ἐπιτιμήσεως τῆσδε καταδίκην ἐντεῦθεν ἔχειν ἀντεπιφέροντες· οὐ γὰρ δὴ πᾶν αὐτῷ ληφθὲν ἐνταῦθα συγκαταδικασθείη τοῖς ἄλλοις, εἴπερ μὴ τὰ πᾶσι κοινῶς ὡμολογημένα φήσειέ τις ὑπεύθυνα· πρὸς ἃ καὶ νῦν ἐξὸν εἰπεῖν ὑπερτίθημι. Επ' ἐκείνοις δέ γε πυνθάνομαι ποῖα ποτ' ἂν εἶεν ἐξ ὧν Κύριλλος ὁ θεόφρων ἑαυτὸν δεόντως ἐπιτιμώμενον συνοῖδεν; Ερεῖτε πάντως τὰ τῆς ἀπολογίας, οἷς τὰ κατ' αὐτὴν ἐκτιθέμενος σιγῇ παρῆλθε τὰ ἐν οἷς ἡ καταφορὰ συγκατάθεσιν, ἔνθεν δεικνὺς οὐκ ἀντικατάστασιν. Καὶ ποῦ λόγος ἐνταῦθα συγκατανεύσεως; Ποῦ φωνῆς ἦχος ἀμυδρὸς εἰς συναίνεσιν; Ποῦ συμφωνίας ῥῆμα βραχύ; Ποῦ τῆς ἐξ υἱοῦ, ἢ δι' υἱοῦ τοῦ πνεύματος ὑπάρξεως ἄρνησις; Οὐκ ἔστιν ὅλως τούτων οὐδοτιοῦν· ἀλλὰ λογισμῶν ταῦτα καὶ διανοιῶν ὑμετέρων ἐπιβουλαί. Καί τοι ῥᾴδιον ἦν τῷ μεγάλῳ τοῦ ἀντιδιατιθεμένου τὸν λόγον προαγαγόντος ὑποθετικῶς, καὶ οὐ κατ' ἀπόφασιν, τοῦτ' αὐτὸ φάσκειν θᾶττον ἐπενεγκεῖν, ὅπερ ἦν ἐκείνῳ δοκοῦν, εἰ συνειδὼς καθ' ὑμᾶς καλῶς ἔχειν ὑπῆρχε· καὶ τὴν ῥῆσιν οὕτως ἐκλαβέσθαι συνθέσθαι· καὶ μὴ πρὸς ὃ τὰ τῆς καταδίκης ἠώρητο· κἀντεῦθεν ὅλῃ σπουδῇ τὰ κατ' αὐτὴν ἀποτρέψασθαι· οὐ τῶν ἁπλῶς καὶ τῶν τυχόντων τυγχάνοντα. Νῦν δὲ πρὸς τῷ μηδαμῶς ἐπιστρέφεσθαι τῶν τοιούτων, ἃ μὲν ἦν τῆς κοινῆς ὁμολογίας καὶ θέσεως, διαῤῥήδην ἀναγορεύων ὁρᾶται, καὶ τὸ ἐκ πατρὸς ἐκπορεύεσθαι κατὰ τὴν τοῦ σωτῆρος φωνὴν τρανῶς ἀναγγέλλων.

ΚΗ'.

Πρὸς δ' ἐκεῖνα, τῶν προτέρων ἐχόμενος, τὰ αὐτὰ πάλιν ἐπὶ τοῦ μέσου παράγει, τὰ αὐτὰ προτείνει· τοῖς αὐτοῖς εἰς ἀποχρῶσαν ἀντιπαράθεσιν ἐπιμένει· καὶ ὡς ἦν καὶ ἔστιν υἱοῦ τὸ πνεῦμα καθάπερ ἀμέλει καὶ τοῦ πατρὸς, καὶ ὡς οὐκ ἀλλότριον υἱοῦ. τὸ ἴδιον αὖθις λέγων καὶ τοιαῦθ' ἕτερα καθεξῆς τῆς αὐτῆς διανοίας. Καὶ ποῦ ῥοπή τις ὧδε συννεύσεως ὅλως. ὅτι μὴ λαμπρῶς μᾶλλον ἀντικαταστάσεως ἔκφανσις; Εἰ ἐξ ὧν ἐκεῖνος διαιρῶν τὰ τῆς ἀτοπίας συνάγει, τούτοις οὗτος ἐνασμενίζει στοιχῶν, καὶ ἥκιστα διαιρῶν, μή τε μὴν αὐτῶν ἀφιστάμενος, μενοῦν γε κἀκ τῶνδε πρὸς τῷ μὴ ἀπολιμπάνεσθαι, παριστάνων ἀναμφηρίστως, ἅπερ ἐκεῖνος ἀποδιαπομπεῖται καὶ συνιστῶν τελεώτατα. Οἷς δὴ καὶ τὰς ἀντιθέσεις ὠδίνοντες ἀντεπάξετε. Καὶ πῶς τοῦ ἀπεναντίας τὸ ἐξ υἱοῦ τε καὶ δι' υἱοῦ σαφῶς ἀποῤῥιψαμένου, μὴ καταφανῶς οὗτος ὅσα καὶ οἰκειούμενος ἐξ ἀντιστρόφου τίθησιν ἐπιλέξεων. Οπως ἄρα καὶ λοιποὶ τῶν θεοπροβλήτων προηγόρων τῆς ἀληθείας ὁμόπνοοι τούτῳ καὶ σύμφρονες, ἐν πολλοῖς τοιούτοις καὶ πολλάκις ποιοῦντες δείκνυνται καταδήλως· καὶ τοὺς ἄλλους, ἵνα παραδραμὼν φαίην, ὡς ὁ τὴν θεολογίαν ἐπώνυμος ὁμόψυχος ἑταῖρος τῷ οὐρανοφάντορι Βασιλείῳ μαρτύρεται· τὴν θεὸς φωνὴν ἐπὶ τοῦ πνεύματος πρὸς μικρὸν ὑπερτιθεμένῳ προφέρειν, καιρικῆς ἐπηρείᾳ περιπετείας, δι' ἑτέρων δὲ ῥημάτων ἰσοδυνάμων λέγων καὶ συμπεραίνων τρανότατα. Καὶ ποῖός τις ἐνθάδε τρόπος ἐπηρεαστικὸς, εἴπητ' ἂν οὐκ ὀλίγος· ἐν χεροῖν ὁ ἀντιπαλαίων τῷ γενναίῳ τῆς εὐσεβείας προμάχῳ καὶ τοῦ καταβληθῆναι τῶν τοῦ δυσσεβοῦς ἅτε προϊστάμενος Νεστο-

ρίου πέλας καὶ καὶ σαφῆς ἐπηρείας ἐπιφορὰ τὸ παρεισκυκλοῦν ὅλως καὶ περεισάγειν, ἕτερ᾽ ἄττα τῆς προκειμένης, ὅπως οὖν μεθιστῶντα πάλης, καὶ παρεκκλίνοντα σοφῶς ἅπερ ὁ μέγας οἰκονομῶν καὶ δι᾽ ὁμοσθενῶν φωνῶν τε καὶ συλλαβῶν, ὧν τὴν ἀποτροπὴν ἐκεῖνος ποιεῖται κατασκευαστικῶς, κἂν τούτοις ἐμμεθόδως αὐτὸν συμποδίζων, τὸ πᾶν ἐρείδεται τοῦ ἀγῶνος εἰς τὸ κατεπεῖγον τηνικαῦτα, καὶ τὸ τοῦ σκοποῦ χρειωδέστατον, ἐπελέγξαι τὸν ἀντιδικοῦντα τῷ κακοδοξοῦντι συμφρονοῦντα καὶ σθένει παντὶ συναιρόμενον.

ΚΘ´.

Ὡς ἐντεῦθεν τῇ καταλύσει τῶν τοιούτων σπουδάσματος δηλαδὴ καὶ φρονήματος, καὶ πᾶν ἄλλο κατ᾽ αὐτοῦ γραφὲν ἐκείνῳ καὶ λαληθὲν συγκαταλυθήσεσθαι· καὶ δὴ πέπρακται τοῦτο καὶ γέγονεν ἐντελέστατα. Εἰ μὲν οὖν τὸν ὅμοιον τρόπον ἀνθυπενεγκεῖν βουλήσεσθε καὶ αὐτοί, λογισμῶν καὶ ταῦτα φωνοῦντες, ὑμεῖς μὲν οὐχ ὅπως ἐνταῦθα συντρέχειν, ὡς ἐῤῥέθη, τῷ ἀντιφερομένῳ τὸν πολὺν τὰ θεῖα δυνήσεσθε δεικνύναι κατεπειχθέντες· ἀλλ᾽ οὐδ᾽ ἀλλαχοῦ τῶν οἰκείων λόγων, ὡς ἔχειν εὑρέσθαι δι᾽ υἱοῦ ἢ ἐξ υἱοῦ τὸ παράπαν ἀθέτησιν· καὶ παρὰ τοῦτο τὰ τῶν ὑμετέρων, οὐ μόνον ἥκιστα τῶν εἰκότων, ἀλλὰ καὶ τῶν ἐπιεικῶς ἀνυποστάτων ἐπινοιῶν ἐκτόκια πέφηνεν. Ἡμῖν δὲ τὰ προσεχῶς λογισμῶν εἶναι τιθεμένοις, πρὸς οἷς ἐκ τῶν πρὸ αὐτῶν εἰρημένων τοῖς τῶν δεόντων ἀσφαλείας ἐξέχεσθαι φαίνεται, πλειόνως ἔτι μᾶλλον ἐξ ὧν ἐροῦμεν ἀποφανθήσεται· προηγουμένως μὲν ἐξ αὐτῆς τῆς τῶν κειμένων ὧδε τῷ θεολήπτῳ πατρὶ καθαρᾶς διανοίας ἔχοντες παραστῆσαι, τὴν ἀντιπαλάμησιν καὶ τὸν ἔλεγχον ἀριδήλως, ὧν ὁ ἀντιβαίνων προτίθησιν· εἶτα δὲ καὶ λοιπῶν ἐξ ἑτέρων αὐτοῦ τοῦ θεοσόφου διδασκαλιῶν ἀναντιῤῥήτων καὶ παραδόσεων. Εἰ δὲ καὶ αὖ ἐριθείας ἐντόνῳ τάσει τὰ τῆς ῥηθείσης ἐπιβολῆς οὕτως ἐχούσης ὡς ἁπλῶς λογισμοῦ λογιεῖσθε, καὶ μὴ παραδέξασθαι πάντῃ θελήσετε, φροντὶς οὐδαμῶς.

Λ´.

Ἐῶ λέγειν καὶ κρίνειν καὶ στρέφειν περὶ αὐτῆς ὅπερ ὑμῖν αἱρετόν. Ἐξὸν ἔμοι γε καὶ οὕτω περιγενέσθαι μόνως τὰ τοῦ πατρὸς ἐξ αὐτοῦ δεδειχότι, τρόπον ἔχειν ὅνπερ εἰρήκαμεν· καὶ δὴ τῆς ἀντικειμένης θέσεως οὕτω θεωρουμένης· ἴδιον δὲ τοῦ υἱοῦ τὸ πνεῦμα· εἰ μὲν ὡς ὁμοφυὲς καὶ ἐκ πατρὸς ἐκπορευόμενον ἔφη, συνομολογήσομεν καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνήν· εἰ δέ, ὡς ἐξ υἱοῦ, ἢ δι᾽ υἱοῦ τὴν ὕπαρξιν ἔχων, ὡς βλάσφημον τοῦτο καὶ δυσσεβὲς ἀποῤῥίψομεν. Προσεκτέον ὅπως ὁ θεοῤῥήμων, μὴ τῆς διακρίσεως τῆσδε φροντίσαι ὅλως· ἀλλὰ τὸ ἐκ πατρὸς ἐκπορευόμενον, τῶν ἄλλων ἀφελόμενος, μόνον ἐκστερνίζεται καὶ ἀνεκηρύττει· τοῖς δὲ λοιποῖς, τὰ πρότερον ὡς ἔφθην εἰπὼν ἀντιτίθησι. Καὶ προσέτι δὲ τῆς πατρικῆς ἐπιστήμης ἐπὶ θεολογίᾳ δεόντως ἐνθαδὶ τηρητέον ἀκρίβειαν· ὅπως οὐδ᾽ αὐτὸ τὸ ὁμοφυὲς τῆς κοινῆς ὁμολογίας ὑπάρχον καὶ τοῦ ἀνακηρυττομένου σύνεγγυς τιθεμένου, ὡς ἂν τὸ πρώτως ἀναγγελθὲν ἐπὶ τῇ ἀντιθέσει. Πρῶτον δὴ καὶ κατίδωμεν, φωνῶν ἣ παραλαμβάνων ὁρᾶται, μὴ τῇ ἐπαγωγῇ καταλλήλως, ἅτε δὴ προηγμένων, ἀλλ᾽ ὄντως ὂν ἀνακόλουθον, καὶ τῆς ἀληθείας ἔξω φερόμενον. Εἰ γὰρ ὡς ὁμοφυὲς ἴδιον υἱοῦ τὸ πνεῦμα, καὶ ὁ υἱὸς ὡς ὁμοφυής, ἴδιος ἐσεῖται τοῦ πνεύματος. Ἀλλ᾽ οὐκ ἔστιν· οὔτε μὴν εὑρεθήσεταί που τῶν θεηγόρων ὁ εἰρηκώς. Τἀνάπαλιν μὲν οὖν ἴδιον υἱοῦ τὸ πνεῦμα, καὶ πανταχόσε καθὰ δῆτα καὶ τοῦ πατρός. Ὅθεν εἰ ἴδιον καὶ ὁμοφυές, οὐ μὴν εἰ ὁμοφυές, ἤδη καὶ ἴδιον. Οὐ γὰρ ἕπεται, ὥσπερ εἰ ἄνθρωπος καὶ ζῶον, οὐ μὴν εἰ ζῶον καὶ ἄνθρωπος, ἵνα τι καὶ τῶν ὑμετέρων φαίημεν ἀληθείας ἐχόμενον. Τοῦ γοῦν ὁμοφυοῦς οὕτως ἔχοντος, σκοπῆσαι χρεών, εἰ μὴ κατὰ πᾶσαν ἀνάγκην τὸ τῇ ἀντιῤῥήσει σφοδρῶς ἀναιρούμενον εἰσαχθήσεται. Καὶ πρώτως ἐφ᾽ οὗπερ ἀμφοῖν τὸ μὴ ἀμφιβάλλειν σκεψόμεθα· τοῦ πατρὸς ἴδιον ἀληθῶς τὸ πνεῦμα, καὶ

οὐκ ἀντιστρόφως ἴδιος τοῦ πνεύματος ὁ πατήρ, καὶ ὁ λόγος ἐναργὴς ἄρα καὶ ἀναμφίλεκτος. Τῷ γὰρ ἐξ οὗ καθαρῶς ἐστιν ἀποδεδομένον τὸ ἴδιον, καὶ οὐ τῷ ἐξ αὐτοῦ καθ᾽ οἷον δή τινα τρόπον ὁτὲ, παρὸ· καὶ τὸ ἐκ πατρὸς ὑπάρχον ἅγιον πνεῦμα, καὶ ἴδιον, αὐτοῦ πάντως ὡς ἐξ αὐτοῦ, καὶ οὐ τἄνπαλιν ὁπουδήποτε. Χῶρα γὰρ οὐδαμῶς φράσαι πως, ἢ ἐννοῆσαι πατέρα τὸ παράπαν ἐκ πνεύματος· ἄπαγε. Τοῦτο δὴ κἀπὶ τοῦ υἱοῦ σαφῶς ἴδιον αὐτοῦ τὸ πνεῦμα, καθότι δι᾽αὐτοῦ, καὶ ὡς ἐξ αὐτοῦ.

ΛΑ'.

Καὶ οὐμενοῦν ὡς ὁμοφυές· ἢ γὰρ ἂν οὕτω καὶ ὁ υἱὸς, ἐπείπερ ὁμοφυὴς, ἴδιος ἐξ ἀνάγκης καθειστήκει τοῦ πνεύματος, ὅπερ οὐχ ὅπως. ἐμπέφευγε τὴν ἀντιστροφὴν, ἀλλὰ καὶ αὐτὰ δὴ καθ᾽ αὑτὰ, τὸ υἱὸς δηλαδὴ καὶ πνεῦμα, τοῦδε χωρὶς θεωρούμενα, ὡς πνεῦμα διαρρήδην υἱοῦ τρανοῦσθαι· υἱὸν δὲ πνεύματος ἥκιστα· τοίνυν εἰ διαυγῶς ἴδιον υἱοῦ τὸ πνεῦμα, καὶ οὐχὶ τἀνάπαλιν· τὸ μὲν ἔσται πάντως, οἷς ἐξ αὐτοῦ καὶ δι᾽αὐτοῦ τὸ πνεῦμα· τὸ δ᾽ ἀντιστρέφον ἔχον οὐκ ἔσται οἷς οὐδαμῶς ἐκ πνεύματος ἢ διὰ τοῦ πνεύματος ὁ υἱὸς, κατὰ τὴν ἀνωτάτω καὶ ὑπέρχρονον πρόοδον. Ενιοι δ᾽ ἐξ ὑμῶν ἴσως καὶ τοῦτο συμπερανοῦσιν, ἐκ τῆς ὡς ἐρρέθη θέσεως τοῦ ὁμοφυοῦς καθάπερ ἐκ τοῦ ὁμοουσίου προδήλως. Επεὶ τῆς αὐτῆς ἀλληλουχίας ἑκάτερον συναγαγεῖν· οὓς ἴστε προήχθησαν, θέμενοι τὸ ὁμοούσιον, οἷς ἰδίᾳ καὶ ἡνωμένως ἐκ τῆς οὐσίας πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα τεθεολόγηται. Καὶ παρατήρει, τὸ ἐκ τῆς οὐσίας ἀπεφήναμεν· καὶ παρ᾽ ἡμῶν ὡς ἀντεπαγόντων· ἔσται κατὰ τοὺς οὕτως ἀποφανθέντας λόγους ἑπόμενον ἀναγκαίως· καὶ τὸ τὸν πατέρα καὶ τὸν υἱὸν ἐκ τῆς οὐσίας λέγειν τοῦ πνεύματος, εἴπερ ἄμφω καὶ οὗτοι τοῦ πνεύματος ὁμοούσιοι· κἀκ τῆς τοῦ υἱοῦ τὸν πατέρα πάλιν ὡσαύτως, ἀναγκασθέντας, οὕτω τῷ ἄρχεσθαι καὶ προφοραῖς συμπεράναι λόγων, καὶ παραδοῦναι γραφαῖς ἐμφανέστατα. Οἷς ἡμῶν ἀφεξῆς δεικνύντων, ὅπως ἔσται τὸ ἐκ τῆς οὐσίας, ὅπως αὖθις τὸ ὁμοούσιον· καὶ ὡς τὸ μὲν ἡγούμενον τὸ ἐκ τῆς οὐσίας, τὸ δὲ ἑπόμενον ἐναργῶς. Οπερ γὰρ ἐκ τῆς οὐσίας καὶ ὁμοούσιον, οὐ μὴν ὅπερ ὁμοούσιον καὶ ἐκ τῆς οὐσίας· ἐφ᾽ ᾧ καὶ ὁμοούσιον τὸ πατρὶ τὸ πνεῦμα, καθότι περ ἐκ τῆς οὐσίας αὐτοῦ· καὶ οὗτος τῷ πνεύματι ὁμοούσιος· οὐχ ὡς ἐκ τῆς οὐσίας τοῦδε κατὰ λόγον ἀντιστροφῆς. Αδύνατον γὰρ καὶ πέρα δεινῆς ἀτοπίας ἁπάσης· ἀλλ᾽ ἐπειδὴ τοῦτο μᾶλλον ἔχει προαιωνίως ἐκλάμπον ἐκ τῆς οὐσίας αὐτοῦ· καὶ ὡς οὕτω δὴ τυγχάνει καὶ ἐπ᾽ἀμφοῖν υἱῷ τε καὶ πνεύματι, περὶ ὧν ἡμῖν ἀλλαχόσε διείληπται τελειότερον, μόλις ἐπῆλθε γνῶναι συναίσθησις, ὅπη κακίας ἀπάγοιντο. Παρ᾽ ὃ καὶ ὡς εὐπετὲς, τοῖς ἡμῖν ἐναντιουμένοις ἀδείᾳ πολυτρόπῳ λέγειν τε καὶ ἀνατρέπειν ἀνευθύνως τὰ οἰκεῖα, καθόσον αὐτοῖς βουλητὸν, σιωπῆσαι τὰ τοιαῦτα κατεσπουδάσθη τῶν σφετέρων γραφῶν ἀπαλείψεσι· πλὴν ἡμῖν τοῦτο τὸ ὁμοφυὲς πρὸς τὸ ἴδιον ἔχειν, κατὰ δὴ πρὸς τὸ ἐκ τῆς οὐσίας τὸ ὁμοούσιον λόγοις εἰλικρινέσι ἐπ᾽ἐλέγχῳ τῶν κακῶς ταυτὶ λαμβανόντων ἐκτέθειται, φιλονεικότερον εἰ δέ γε καὶ αὖ ἀνθιστάμενοι, κατὰ τὸ ἐκ πατρὸς ἅμα προϊέναι, τὸ ὁμοφυὲς ἀμφοῖν υἱῷ τε καὶ πνεύματι φαίητε.

ΛΒ',

Τοῦτο καὶ αὐτὸς ἀνομολογῶν, ἀλλ᾽ εἰ μὴ καὶ περαιτέρω προβαίνητε, φάσκειν, πῶς τὸ, περὶ οὗ ὁ λόγος, ἴδιον ὅλως σωθήσεται· τὸ αὐτὸ γὰρ καὶ πάλιν οὐδὲν ἧττον ἐσεῖται· καὶ τὸ ἴδιον ἑκατέρῳ προσώπῳ κατῖσον ἀντιστρόφως ἐφαρμοθήσεται. Καὶ προσέτι γε μῶν ἀδελφική τις σφίσιν ἐντεῦθεν ὁμοφυΐα παρεισαχθήσεται· πρὸς ἃ συνελαθέντες οἶδ᾽ ὅτι βοήσετε· καὶ πῶς αὕτη παρείσδυσιν ἕξει ποσῶς. Εἴ γε πρόεισι κατὰ τρόπον ἄμφω διάφορον· καὶ τοῦθ᾽ ἡμῖν τὸ ζητούμενον περαιτέρω· καὶ ὡς ὑπέρευγε τῆς ἀληθοῦς ἀνθυποφορᾶς ταύτης ἀκούσεσθε. Τῷ ὄντι γὰρ ὁ διενηνοχὼς οὗτος τρόπος, τὸ μὲν παρί-

στησιν ἐκ πατρὸς ἀπαστράπτον δι᾽ οὐδενός· ἀμέσως γὰρ ὁ υἱός· τὸ δὲ διὰ τοῦ προσεχῶς αὐτοῦ, δηλονότι τὸ θεῖον πνεῦμα· καὶ γοῦν ἐντεῦθεν τὸ διάφορον δείκνυται τῶν προσώπων, τὸ ἀπαράλλακτον τῆς οὐσίας, τὸ ὁμοφυὲς καταλλήλως, τὸ ὁμογενὲς ἀραρότως, συμφυΐας ἀδελφικῆς ἀνεπίδεκτον, καὶ κατὰ τοὺς λοιποὺς θεοειδεῖς διδασκάλους ἐν πολλοῖς οὕτω τεθεολογηκότας·

ΛΓ΄.

Ἐνταῦθα δὲ χρώμενος οἷς ὀρῶμαι κατέπος, κατὰ τὸν τῶν Νυσσαέων φωτοφανῆ λαμπτῆρα τοῖς προληφθεῖσιν ἔτι συνημμένως τρανοῦντα, τῶν ἐνθαδὶ πλατύτερον ἐκτεθεῖσι, τῆς τοῦ υἱοῦ μεσιτείας, καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ πνεῦμα τῆς πρὸς τὸν πατέρα σχέσεως μὴ ἀπειργούσης. Ὡς μὴ ἂν ἄλλως ἐκ πατρὸς ἀμφοτέροις ὁμοφυῶς προϊοῦσιν, ἐξεῖναι τὸ μὴ ἀδελφικῶς ἡνῶσθαι, καὶ μὴ ἂν ἑτέρως τὸ τῆς νῦν προκειμένης ἐξετάσεως, ἴδιον θεωρεῖσθαι; ὅτι μὴ καθὸ τὸ μὲν προσεχῶς ὁ υἱός, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ πατρὸς, κατ᾽ αὐτὸν τὸν τῆς ἐκφάνσεως, εἴτ᾽ οὖν οὐσιώσεως τρόπον· οὐδὲ γὰρ ἀποδεῖξαι σχοίη τις ὅλως, μὴ περὶ ταύτης εἶναι τὸν λόγον τῷ τάδε θεολογοῦντι πατρί, κἂν εἰς ἀπέραντον γλωσσαλγῆσαι θελήσειεν. Ἐφ᾽ ᾧ καὶ τὸ, ἴδιον υἱοῦ δεδογματίσθαι τὸ πνεῦμα, καὶ τὸ, μὴ ἀντεστραμμένον ἔχειν εὑρίσκεσθαι. παρὰ ταύτην ἐμφανῶς τὴν οὕτω παραδεδομένην θεηγορίαν· καὶ ἥκιστα παρὰ τὸ ὁμοφυὲς ὡς ἐλήλεγκται, μὴ χώραν ἀντιστροφῆς καὶ τήνδε προσιεμένην. Εἴ γε τῷ παραδεδωκότι θεσπεσίῳ. τῷδε μυσταγωγῷ, εἰς διαφορὰν ἀριδήλως ἐξεφωνήθη προσώποιν ἀμφοῖν.

ΛΔ΄.

Οἱ καθ᾽ ὑμᾶς δὲ καὶ ταύτην εἰς τὸ ἀδιάφορον περιέστησαν, τοῖς πατράσιν ἐπίπαν ἀντινομοθετικῶς ἐπιτάττοντες. Ἔστι μὲν οὖν ἐντεῦθεν τὸ πᾶν τοῦ ζητήματος διαυγὲς εἰς φανέρωσιν· ἐξ αὐτῆς μόνης τῆς τοῦ ὁμοφυοῦς ἐνοπτρίσεως. Ἀλλ᾽ ἐπεὶ τῆς ἀληθείας ἡ καθαρότης πάντοθεν περισκοπουμένη, πολυειδῶς περιδινουμένη· καθ᾽ αὑτὴν μὲν ἡ αὐτὴ μένει· πρὸς ἡμᾶς δὲ τὰς οἰκείας ἀκτῖνας λαμπροτέρας ἀφίησιν, ἴωμεν ἤδη, καὶ πρόσω· καὶ τὰ τῆς ἀντιῤῥήσεως ἴδωμεν ἐφεξῆς. Πρό γε μὴν τοῦ προβῆναι, καὶ αὖθις οὕτως ἀθρήσωμεν· ἔχει μὲν ἧδε, διλημμάτως τεθεῖσα, καὶ δυσὶ συζυγίαις ἐφαρμοσθεῖσα. Προφέρει γὰρ ὁ δημιουργήσας αὐτὴν οὑτωσί· τίθησιν ἴδιον ὡς ὁμοφυὲς, ἴδιον ὡς ἐξ υἱοῦ, ἢ δι᾽ υἱοῦ τὴν ὕπαρξιν ἔχον. Ὑποτίθησιν εὐσεβὲς ὅπερ τοῦ ἀληθοῦς, δυσσεβὲς ὅπερ τοῦ ψεύδους· εἶτα κατὰ κανόνα τὸν ἐκ φιλοσοφίας ἐξάγων, ἔστιν· εἰ τὸ ὡς ὁμοφυὲς ὑπάρχει τοῦ ἀληθίζοντος, καὶ τὸ ἐνάντιον ἄρα τὸ ἐξ υἱοῦ ἢ δι᾽ υἱοῦ· τῷ ἐναντίῳ· τουτέστι τῷ ψεύδει καθυπαχθήσεται· παρ᾽ ἡμῶν ἀπελήλεγκται λόγοις ἀναμφιλέκτοις· τοῦ ψεύδους εἶναι τὸ ὡς ὁμοφυές. Κἀπειδὴ τοῦτο περιφανῶς οὐκ ἔστι τοῦ λοιποῦ κατ᾽ αὐτὸν, μὴ καὶ τὸ ἐνάντιον ἀνενδοιάστως· τὸ ἐξ υἱοῦ, ἢ δι᾽ υἱοῦ, τῷ ἐναντίῳ συντρέχειν τῇ ἀληθείᾳ· καὶ ταύτης ἀναγκάιως ἐξέχεσθαι· καὶ τόδε πάντως οὕτως ἔχον ἐστι, καὶ οὐχ ἑτέρως ὅπως ποτε. Ὅτι δὲ καὶ τὸ ὁμοφυὲς, τῶν ἀντιδιῃρημένων οὐ πέφυκε πρὸς τὸ δι᾽ υἱοῦ, τῶν αὐτῷ δὲ συνεισφερομένων ταμάλιστα· διηρθρωμένων ἡμῖν ἐστι κατὰ τὸ ἐνὸν, πλὴν ὅτι καὶ κατ᾽ αὐτὸν δὴ τὸν ἀντίθετον ἐξ ἧς ἀποῤῥαπίζειν δόγμα φαίνεται τὸ εἰλικρινὲς, θέσεως φιλοσόφου, τῆς ἀληθείας ἐξηρτῆσθαι, καὶ οὕτω τέλεον ἀναδείκνυται. Καὶ γοῦν ἀπάρτι περαιτέρω χωροῦντες αὐτὸν τὸν ἱερὸν ὑπέρμαχον τούτου παρέξομεν· ὧν ὁ ἐξ ἐναντίας τὴν ἀπάρνησιν ἐμφανῆ ποιεῖται· τὴν ἀναγόρευσιν τιθέμενον ἀντιστάδην, οἷς τὰ πρὸς ἀνατροπὴν ἐκείνου ληφθέντα διασαφεῖ καθαρώτατα. Καὶ πρῶτον, ὅπως ἐπὶ θεοῦ δεῖ νοεῖσθαι τὸ ἴδιον διατάττεται, παραθήσομεν. Φάσκει τοίνυν περὶ τοῦ υἱοῦ διαλαμβάνων ἐν τῷ πρὸς Νεστόριον λόγῳ, οὗ ἡ ἀρχὴ – Καταφλυαροῦσι τινὲς, ὡς μανθάνω, τῆς ἐμῆς ὑπολήψεως· – Ὥσπερ γὰρ ἴδιον ἀνθρώπου· καὶ μὴν ἑκάστου· τῶν ἑτέρων

ζώων, τὸ ἐξ αὐτοῦ κατὰ φύσιν γεγεννημένον· οὕτως ἴδιον θεοῦ τὸ ἐκ τῆς οὐσίας νοοῖτ' ἂν εἶναι καὶ λέγοιτο.

ΛΕ'.

Ἴδωμεν καθεξῆς εἰ μὴν οὕτως ἐπὶ τοῦ πνεύματος τοῦτ' ἐκλαμβάνεται, καὶ πρόγε τῶν ἄλλων, οἷς ἐνταῦθα τὰ τῆς διαμάχης ἔνθα πεφθακὼς προθεῖναι κατὰ ῥῆσιν, ἴδιον ἔχων τὸ ἐξ αὐτοῦ καὶ οὐσιωδῶς ἐμπεφυκὸς αὐτῷ πνεῦμα ἅγιον ὁ μονογενὴς τοῦ θεοῦ λόγος, εἰργάζετο τὰς θεοσημείας, τοῦ ἀντιφερομένου τόδε μὲν κραταιῶς ἀναιροῦντος, κατὰ τὴν εἰς δύο τῆς οἰκείας τὰ μὴν διαιρέσεως· κατασκευαζομένου δὲ θάτερον, τούτων μὴ ἐπιστρεφόμενος· αὐτὸ πάλιν ἐκεῖνο συνιστῶν ὀπτάνεται. Καὶ φωνῶν τὴν μὲν ἀναιρέσεως ἔλεγχον παρίστησιν ἐναργῆ, τοῦ δέ γε ἐξ υἱοῦ βεβαίωσιν ἀμετάτρεπτον. Προσέτι δὲ οἷς ἐκ τῆς οὐσίας υἱοῦ τὸ πνεῦμα πολλαχοῦ τῶν οἰκείων πονημάτων θεολογεῖ, τὸ ἴδιον ὅπως δείκνυσι τηλαυγῶς. Εἴ γε τούτου τὴν λῆψιν ἐπὶ θεοῦ σαφηνίζει τρανότατα, καθάπερ ἐκ τῆς τοῦ πατρὸς οὐσίας τὸν υἱὸν καὶ τὸ πνεῦμα· ταὐτῆς οὐσίας οὕτω δὴ τοῦ υἱοῦ τὸ πνεῦμα διδοὺς ἡμῖν νοεῖν τε καὶ λέγειν.

ΛϚ'.

Τῶν ἰδιοτήτων μὲν οὐσῶν ἀπαραποιήτων, ἃς σὺν τοῖς λοιποῖς οὗτος θεοῤῥήμοσιν ἐξεφώνησεν· οὐχ ἃς πρὸς αὐταῖς ἑτέρα ἡ Κυπρίου νομοθεσία παρέδωκεν· ἐπὶ τούτοις οὕτω παριστάνων ἐν τῷ ἕκτῳ τῶν πρὸς Ἑρμείαν, καὶ πρὸς αὐτὸν, ὡς ἐν ἐρωτήσει προάγων τὸν λόγον φησί· Τίνος ἴδιον φῶμεν εἶναι τὸ ἅγιον πνεῦμα; πότερα δὴ μόνου τοῦ θεοῦ καὶ πατρὸς; ἢ καὶ τοῦ υἱοῦ, ἢ καὶ ἀνάμερος ἑκατέρου καὶ ἀμφοῖν, ὡς ἓν ἐκ πατρὸς δι' υἱοῦ; Ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην· - Ἰδοὺ γάρ, ἰδοὺ πνεῦμα τῆς ἀληθείας - τουτέστιν ἑαυτοῦ τὸν παράκλητον εἰπὼν, παρὰ τοῦ πατρὸς αὐτὸν ἐκπορεύεσθαι φησίν. - Ὥσπερ γάρ ἐστι τὸ πνεῦμα ἴδιον τοῦ υἱοῦ φυσικῶς ἐν αὐτῷ τε ὑπάρχον, καὶ δι' αὐτοῦ προϊὸν, οὕτω καὶ τοῦ πατρός. Οἷς δὲ τὸ πνεῦμα κοινὸν, τούτοις εἴη δήπου πάντως ἂν καὶ τὰ τῆς οὐσίας οὐ διωρισμένα εἰς τὸ, ὅτι - Τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστεράν· - ἀπαράλλακτος ἡ τοῦ Χριστοῦ ὁμοιότης πρὸς τὸ ἴδιον αὐτοῦ καὶ παρ' αὐτοῦ κατὰ φύσιν προχεόμενον πνεῦμα.

ΛΖ'.

Τί φατὲ συμφωνίας ἐνθένδε τῷ μεγάλῳ λόγοι πρὸς τὸν ἐναντίως κεκινημένον, ἢ λαμπρᾶς ἀντικαταστάσεως προσβολαί· κατανεύσεις ἐκ τῶνδε πρὸς τὸν τοιοῦτον· ἐπεὶ ἐξ υἱοῦ ἢ δι' υἱοῦ τὸ ἴδιον περιστάνειν, ἢ τὸ φρονεῖν οὕτω καὶ φάσκειν ἀποσοβήσεις σαφεῖς· οἶμαι μὴ ἂν ὑμᾶς ἔχειν λόγοις συνειδότος ἐρεῖν· μὴ καθάπαξ ἀνασκευάζεσθε τὰ ἐκείνου τῷ οὐρανόφρονι. Προφάσεων μέντοι μὴ ἀμοιροῦντας ἀντιῤῥημοσύνης φαντασιώδους ἐκ θεσμῶν ἐξέσται παράγειν καὶ κανόνων τῶν τοῦ Κυπρίου· μὴ ὕπαρξιν ἐκ τῶν τεθειμένων τρανοῦσθαι πρὸς ἀποῤῥαπισμὸν τοῦτ' ἐχούσης τῆς ἀντιθέσεως, καὶ ὡς παρὰ τὴν ὕπαρξιν, ἄλλο τὸ προχεῖσθαι καὶ προϊέναι. Καὶ ἔτι μὴν τὸ ὑπάρχειν συνελόντας εἰπεῖν, ἐπεὶ καὶ τόδε τοῖς ληφθεῖσιν ἀναφαινόμενον. Πρὸς ἃ παρατιθέαμεν, εἰκότως τοῖς ῥηθεῖσιν ἐπαπορούμενοι· ποῖον τῶν ὀνομάτων, ἢ τῶν ῥημάτων, ἢ μᾶλλον, ἵν' ἄμφω συλλάβοιμι, τῶν φωνῶν ὁποῖαν εἰς ἁπλήν τι καὶ ὁμολογημένην, καὶ μηδαμῶς ἀμφιδοιαζομένην ἐπὶ θεοῦ σημασίαν ἕξομεν ἀσφαλῶς, εἰ πᾶν οὕτω λεγόμενον τῶν ὁμωνύμων εὑρεθήσεται καθ' ὑμᾶς. Ἰδοὺ γὰρ τῆς σφῶν μερίδος τὰ σημανθέντα, πρὸς οἷς τὸ ἐκλάμπειν, τὸ πηγάζειν, τὸ πεφηνέναι, καὶ τούτοις εἴ τι που παραπλησίον, καινοτέρᾳ προσέτι προχωρήσει· τὸ ἐκπορεύεσθαι, τὸ προβολεῦσαι ὡσαύτως· εἰ καὶ τὸ ἀνεξήγητον τοῖσδε προσθείην, ἐπ' αὐξήσει τῆς τῶν προσεχῶν ἑκατέρων παραδεδομένης διανοίας ἐπινοηθὲν ἀλλοιώσεως, τεθηπὼς ὀφθείην διαφερόντως, καὶ μὴ εἰδὼς τι ἂν ἐπὶ θεοῦ νοὸς ἀναμφιβόλου σχοίημεν ὅλως λέγειν, τὸ ἐπαμφοτερίζον πάντων ἐχόντων, καί τινων κατ' ἐξαίρετον τὸ ἀσήμαντον. Ἀλλ' ἐνταῦθα διαγινώσκε-

ται τὸ παροιμιῶδες, τρόπον ἕτερον, ἧπερ εἴρηται· πασσάλῳ πάσσαλον ἐκκρούεσθαι, κακίᾳ κακίαν ἀποδιοπομπεῖσθαι· μᾶλλον δὲ συνεξοστρακίζεσθαι τῇ νεοφανεῖ τῇδε τὴν παλαιοτέραν τε καὶ προευρημένην. Ὡς γὰρ οἱ νεωστὶ καθ' ὑμᾶς ἐπὶ τῷ ἐκπορεύεσθαι, καὶ τῷ προβολεῦσαι, ἀλλὰ μὴν καὶ τῷ ὑπάρχειν, διορισμοὺς οἴκοθεν ἐτεχνάσαντο προστεταχότες ἄλλως οἷς ἐκ πατρὸς εὕρηνται δεῖν ταῦτα νοεῖσθαι· καὶ ἄλλως οἷς δι' υἱοῦ.

ΛΗ΄.

Τὸν αὐτὸν τρόπον οἱ πρὸ ἡμῶν πρὸς τοὺς τῆς ῥωμαϊκῆς ἐκκλησίας ἀντιδιατεθέντες, αἰτίαις, αἷς τοῖς προτέροις λόγοις ἡμῶν παρεστήσαμεν, ἐπ' ἐκείνων οἰκείας ἀρχὰς καὶ θέσεις παρέδωσαν, ἐφ' ὧν τὸ προέρχεσθαι καὶ τὸ ἐκπέμπεσθαι, καὶ ὅσα τοιαῦτα, ἑτέρως ἐκ πατρὸς, καὶ αὖ ἑτέρως ἐξ υἱοῦ τε καὶ δι' υἱοῦ δεῖν ἐκλαμβάνεσθαι, ταῦτα θεσμοθετήσαντες τῶν ἐκφαντικοτέρων δὲ τουτωνί· καὶ προδηλοτέρων ἀπέστησαν, ἑκουσίως παραδραμόντες, κἀντεῦθεν τῷδε τῷ μέρει τῶν νῦν εὐγνωμονέστερί πως ἀναφανέντες. Οὐ γὰρ ἀγνοεῖν σφᾶς ὁπωσοῦν οἰηθείη τις πλὴν ἡ πάντη τῆς ὁμωνυμίας ἔκδηλος ἐνθαδὶ κακία· κἀκεῖσε τὴν ἁπλῶς δήλην θεσμοθεσίαν παρὰ τοῖς τὸ εὐθὲς φιλοῦσιν ἀποσκευάζεται, οἷς οὕτω διακειμένους ἔτι καταφανὲς, ὡς καὶ αὐτὸ δῆτα τὸ ἐκπορεύεσθαι· τῶν ὁμωνύμων ὁρᾶται τρανῶς ἐπί τινων ἑτέρων καὶ μὴ ἐπὶ θεοῦ θεορούμενον, ὡς τὸ ἐξεπορεύετο ἔξω καὶ ἐλάλει· καὶ ποταμὸς ἐξ ἐδὲμ ἐκπορεύεται, καὶ ὅσα, λοιπά· λεγόμενον δ' ἐπ' αὐτοῦ, μονοειδοῦς ἐστι δεικτικὸν ἐννοίας· καὶ πᾶσαν ὁμωνυμίας ἔμφασιν ἀποπέμπεται.

ΛΘ΄.

Τοῦτο δὴ καὶ φωνῶν ἐπ' ἐκείνων διαφόροις σημαινομένοις ἔξωθεν ἁρμοζόμεναι· τὸ πολυσημάντως ἐπὶ θεοῦ φωνεῖσθαι, τέλεον ἀποσοῦνται προσφυῶς αὐχοῦσαι τὸ μονολόγιστον· ἐπεὶ μηθεὶς τῶν ἐπὶ θεολογίᾳ διαπρεψάντων ὁ ταύταις ἀποκληρώσας διορισμούς. Ἀλλ' ἀντερεῖτε· τίς δ' ὁ τὸ ταὐτὸν ἐπὶ διασαφήσει παραδιδούς; οὐχ εἷς που τυχὸν, ἢ καὶ δεύτερος, ἀλλὰ σχεδὸν πᾶς ὁ κατάλογος τῶν θεοφορήτων, ὅσοις ἐκ πατρὸς καὶ υἱοῦ προχεῖται τὸ πνεῦμα καὶ πρόεισι, καὶ ταῖς κατ' αὐτὰς ἑτέραις ῥηματικαῖς φωναῖς ἀναφανδὸν ἐθεολογήθη· τοῦ μέσον τῶν ὀνομάτων ἐμβεβλημένου συνδέσμου μὴ παραχωροῦντος ἐπ' ἀμφοῖν ὁποιανοῦν ῥῆμα τῶν τοιούτων μερίζεσθαι καὶ διαλλάττουσαν σαφήνειαν ἐπιδέχεσθαι. Καί τοι πᾶς ἀληθείας φίλος διισχυρίσαιτο· τοῦτ' ἂν ὡς μᾶλλον διελαλήθη τοῖς πατράσι, εἴγε διέγνωστο· καὶ ἥκιστα τὸ τῇ διανοίᾳ ταυτὸν, ἀπό τε προφορᾶς, ἀπό τε θέσεως τῶν κειμένων, ἔχον πάντη τὸ ἀναμφίβολον. Ὡς μὲν οὖν τοῦ ἁπλῶς ὑπάρχειν αἱ τοιαίδε τῶν λέξεων ἐκφαντορικαί.

Μ΄.

Τοῦ γὰρ πῶς ὑπάρχειν ἐξαγγελτικὸν ἄρα τὸ ἐκπορεύεσθαι, δῆλον καὶ ἐξ ὧν ἐκ πατρὸς καὶ υἱοῦ φυσικῶς ὑπάρχειν πολλαχοῦ τὸ πνεῦμα τεθεολόγηται· καὶ οὐ πάντως ἀσυμφώνους ταύτας καὶ μὴ συμβαινούσας πρὸς ἀλλήλας ὁ τῆς ὀρθῆς δόξης λόγος, ὅλως καθεστάναι παραχωρήσειε· πλὴν ὑμῖν τὰ ἐξ ἔθους αἱ νομοθεσίαι κἀνταῦθα τοῦ Κυπρίου παρεισαχθήσονται· καὶ μερισμοὶ καὶ διαστολαὶ πάλιν καὶ κορυφαῖά τις ὥσπερ ἡ πίστις· ἄλλο μὲν τὸ ὑπάρχειν, ἕτερον δὲ τὸ τὴν ὕπαρξιν ἔχειν δηλοῦν· καὶ τὸ μὲν ἐκ πατρὸς τόδ' ἐξ υἱοῦ λέγεσθαι, παῤῥησιασθήσονται. Πόθεν οὖν ταῦτα κἂν τίνων δείξεων ἐναργῶν, πρὸς ποίου τῶν θεοπνεύστων, ὁπουδήποτε παραδεδωκότος, ἢ τεθεολογηκότος; Οὐτινος οὐδαμῶς, ἢ παρενείρειν ἐν τούτοις· εἰ χρὴ τὸ παράπαν· ἐξ ὧν ὁ ῥηθεὶς οὗτος ὑμέτερος νομοθέτης συνιστᾶν τὰ τοῦ σφετέρου τόμου καθ' ἡμῶν ἐνηβρύνετο· φάσκων ἐκ τῶν Ἀριστοτέλους ἀποδεικνύειν, αὐτὸς ῥῆμα διαλύειν εἰς ὄνομα μετοχικὸν καὶ ῥῆμα διαγορεύει. Καὶ διδάσκει μὲν ἀντὶ τοῦ διδάσκων ἐστὶ, καὶ μανθάνει φησὶν

αντὶ τοῦ μανθάνων ἐστίν. Ἀλλ' οὐ τὸ τῇ λέξει σημαινόμενον ἀλλοιοῖ· τηρεῖ δ' ὡσαύτως ἀπαραποιήτων.

ΜΑ'.

Ὁ νέος δὲ φιλόσοφος ὅδε· καὶ τῶν τοιούτων αὐτῷ προσφιλῶν, ὡς ἐφώνει, κατωφρυωμένος καινοτομεῖ, καὶ μέχρις εἴθε τῶνδε τὰ τῆς καινοτομίας ἐφέρετο· καὶ μὴ κατὰ τῶν ἱερῶν προβόλων τῆς εὐσεβείας τῶν θεοπαρόχων διδασκάλων ἐπανετείνετο. Χαμαὶ πολοῦντες ὅμως ἡμεῖς καὶ σώματι καὶ νοΐ, καὶ μὴ κατιδεῖν ἔχοντες τὰ τῆς σημανθείσης ὑψηλῆς θεωρίας· ἐπεὶ μὴ ταὐθ' οὕτω διασαφοῦντι τὸ σύνολον, οὐχ ὅπως τινὶ τῶν θείων μυστηπόλων, ἀλλ' οὐδὲ τῶν ἁπλῶς ἐλλογίμων ἐντετυχηκότες ἐσμὲν, μήτε μὴν παρειληφότες πρός τινος ἀκοαῖς· τό θ' ὑπάρχειν καὶ τὸ τὴν ὕπαρξιν ἔχειν, ἓν οἴδαμεν καὶ τὸ αὐτὸ καὶ εἰδοίημεν· ἁπλαῖς ἐννοίαις, ὡς παρελάβομεν· ὡς τὸ ἐκφαίνειν καὶ τὴν ἔκφανσιν ἔχειν. Τὸ ἐκλάμπειν ἔτι τε καὶ τὴν ἔκλαμψιν· τὸ ἀναβλύζειν καὶ τὴν ἀνάβλυσιν· τὸ ἐκπέμπειν αὖ καὶ τὴν ἔκπεμψιν· καὶ τὸ προχεῖσθαι δὴ καὶ τὴν πρόχυσιν· καὶ τὰ λοιπὰ τὸν ὅμοιον τρόπον. Εἰ μή που τις ἐρεῖν ἐθέλει καθὸ μέρη λόγου, τὸ ἄλλο καὶ ἄλλο κεκτῆσθαι, τοῦτο καὶ ἡμεῖς ἐροῦμεν. Κατά γε μὴν σημασίαν οὐδέποτε· ὃ γὰρ ἡ ὕπαρξις ὡς ὄνομα, τοῦθ' ὡς ῥῆμα τὸ ὑπάρχειν τρανώσειε. Τέως κατὰ τὸν καινὸν ὑμέτερον τόνδε στοιχειωτὴν, εἰ τὸ ὑπάρχειν ἄλλο παρὰ τὴν ὕπαρξιν ὄν, ἔδει ληφθῆναι πρὸς ἕτερον· εἰς ῥῆμα μετατεθῆναι πάλιν ἐχρῆν τὸ ἐκλάμπειν πάντως· ὡς ἀκολουθίαν ἐντεῦθεν ἔχειν τὰ τῆς λεπτότητος· καὶ τὴν ἔκλαμψιν, ἢ μετάγεσθαι πρὸς τὴν ὕπαρξιν· ἢ δοκοῦν εἴ γε μὴ καθεστήκει· τοῦ σπουδαζομένου καὶ οὕτως ἀναιρουμένου, καθ' ἑαυτὴν ἐᾶσθαι νοεῖσθαι, τοῦ οἰκείου ῥήματος ὑψηλότερον, καθάπερ ἐπὶ τῆς ὑπάρξεως διατέτακται. Ἀλλὰ ταῦτα μετατρέπων καὶ μεταβάλλων, ὡς βούλεται, τὴν ἔκλαμψιν ὁρᾶται λαμβάνων εἰς τὸ ὑπάρχειν· καὶ πῶς οὐ παρίστησιν ἐμφανῶς, εἰς τὴν αὐτὴν ὄνομα καὶ τὸ ῥῆμα διάνοιαν δέχεσθαι, τὸ ἐκλάμπειν τε καὶ τὴν ἔκλαμψιν. Οὐ γὰρ δὴ θάτερον κατὰ χιασμὸν ἀναβιβάσειε πρὸς τὴν ὕπαρξιν, ἐπεὶ καὶ οὕτω τὸ τῆς δόξης ἀνατραπήσεται.

ΜΒ'.

Φήσειεν ἂν ἐπὶ τοῦ ὑπάρχειν· οὐκ ἐφ' ὅτου οὖν ἄλλου· ἔσται πρὸς τὸ οἰκεῖον ὄνομα τὰ τῆς ἑτερότητος· καὶ ἤτω κατὰ τὸ κέλευσμα, τὸ δέ γ' ἐκπορεύσεται, πρὸς ὄνομα μεταμείβει τὴν ἀΐδιον ἔκφανσιν, καὶ οὐκ εἰς ἀλλοῖον τοῦ οἰκείου ῥήματος τὴν ἐκπόρευσιν. Καὶ τοῦ λοιποῦ θεσμοὶ πλεῖστοι καὶ διαλλάττοντες πάρεισι. Πρῶτος μὲν ὁ τῆς ὁμωνυμίας· κοινὸς ἐπ' ἀμφοτέρων· τοῦ ὑπάρχειν τε καὶ τοῦ ἐκπορεύεσθαι· διὸ δὲ καὶ διενηνοχότες ἑξῆς, ὁ τὸ μὲν ἐκπορεύεσθαι πρὸς τὸ οἰκεῖον ὄνομα συμβαίνειν ἐῶν. Ἕτερος δ' αὖ ὁ μὴ πρὸς τὸ ἴδιον ὄνομα συντρέχειν τὸ ὑπάρχειν· ἀλλ' ἀλλοιοῦσθαι διοριζόμενος· ὁ γ' οὖν ταῦτα νομοθετῶν καὶ σπεύδων ἐπικυροῦν ὡς θέσεις αὐτόχρημα, πῶς οὐκ ἂν ἐλεγχθείη παίζων ἐν συμπαικταῖς ἐκδηλότατα; Τίς δὲ καὶ Γρηγορίου τοῦ πάνυ, τοῦ τὴν ἐκ θεολογίας προσηγορίαν καθ' ὑπεροχὴν κτησαμένου· τὸ δὲ τῆς ἐκφάνσεως, ἵν' οὕτως εἴπω καὶ τῆς πρὸς ἄλληλα σχέσεως διάφορον διαφόρους καὶ τὰς κλήσεις πεποίηκε τρανοῦντος ἀκούων; Οὐχὶ καθαρῶς ἐκείνου διαγνοίη μετὰ τὰς τοσαύτας νομοθεσίας, τὸν ῥηθέντα πολέμιον, εἴγε τοῦ μάκαρος εἰς λόγον ὑπάρξεως εἰλικρινῶς τὴν ἔκφανσιν εἰλημμένου, καθ' ἣν ἀμφοῖν προσώποιν ἐγνώρισται τὸ διάφορον, καὶ τὸ τῶν κλήσεων ἰδιάζον· ὡς τὸ μὲν υἱὸν εἶναι, τὸ δὲ πνεῦμα καὶ οὐ καθ' ἕτερον, οὐκ εἰς ὕπαρξιν ἐναντίως γράφων οὗτος λαμβάνει, καὶ ταῦτα προστιθεὶς τὴν ἀΐδιον.

ΜΓ'.

Εἰ δὲ καὶ τοὺς ἐν ταῖς παρούσαις ἡμέραις τοῖς πατράσιν ἑπομένους ἐν τῷ περὶ Θεοῦ λέγειν· προσήκει δεκτοὺς ἡγεῖσθαι, καὶ μάλιστα

τοὺς βίῳ καὶ λόγῳ διαπρεπεῖς, τὸν Βλεμμίδην πάντως οὐκ ἀποπέμψεσθε, ναὶ μὴν καὶ σοφώτερον δώσετε καθεστάναι, τούτου δὴ τοῦ περικλεοῦς ὑμῶν νομοθέτου, καὶ διαγωγῆς ὕψει καὶ πολιτείας ὑπερφυεῖ γεγονέναι τῶν νῦν ἀνθρώπων ὁμολογήσετε, καλῶς εἰδότες· οὗτος ἐπὶ τῷ ἐκλάμπειν, περὶ τοῦ πνεύματος τὸν λόγον ποιούμενος τάδε φησίν· Ὡς οὖν ἐνέργεια τοῦ υἱοῦ καὶ θεοῦ λόγου τὸ πνεῦμα τὸ ἅγιον, ἀϊδίως ἐκλάμπει παρ᾽ αὐτοῦ, ταὐτὸν δ᾽ εἰπεῖν δι᾽ αὐτοῦ παρὰ τοῦ πατρός· ὅτι δὲ τὸ ἐκλάμπειν ἐν θεολογίᾳ παραστατικόν ἐστι τῆς ἀπαθοῦς καὶ ἀχρόνου ὑπάρξεως, καὶ ὁ μέγας Βασίλειος δείκνυσιν ἐν δευτέρῳ τῶν ἀναντιῤῥητικῶν· μενοῦν γε καὶ οὐκ ἀξυμφωνές, ὡς Κύριλλος ὁ θεόφρων, ἴδιον υἱοῦ δογματίζων τὸ πνεῦμα, ἐπὶ ἀποσαβήσει λαμπρᾷ τῶν Θεοδωρήτου θεολογιῶν, καὶ ὡς κακοσχόλων ἐπινοιῶν ἐφευρέσεις, αἱ τοῦ ὑπάρχειν ὁμωνυμίαι, καὶ λοιπῶν ἐπὶ πατρὸς καὶ υἱοῦ ῥηματικῶν φωνῶν κατ᾽ ἔννοιαν ἑτερότητες. Αὐτὸς γοῦν ἅτε προειδώς, ᾧ πνεύματι καὶ ἐφθέγγετο, τὰς τοιαύτας ἐπιτεχνήσεις, στόματα τῶν οὕτως ἐπιτεχνωμένων ἐμφαράγνυσιν, ἐν τῇ εἰς τὸν προφήτην Ἰωὴλ ἑρμηνείᾳ μεγαληγόρως οὕτω βοῶν· – ἢ μὲν γάρ ἐστι θεὸς καὶ ἐκ θεοῦ κατὰ φύσιν ὁ υἱός, γεγέννηται γὰρ ἐκ θεοῦ καὶ πατρός, ἴδιον αὐτοῦ τε, καὶ ἐν αὐτῷ, καὶ ἐξ αὐτοῦ· τὸ πνεῦμα ἐστὶ – καθάπερ ἀμέλει καὶ ἐπ᾽ αὐτοῦ νοεῖται τοῦ θεοῦ καὶ πατρός.

ΜΔ΄.

Τίς γὰρ εὐθύτητος ἐραστὴς ταῦθ᾽ ὁρῶν, μὴ τὴν Θεοδωρήτου μέγα κραυγάσειεν ἀπόῤῥιψιν ἐντεῦθεν ἀποῤῥαπίζεσθαι, τοῦ θεσπεσίου τρανῶς ἴδιον υἱοῦ τὸ πνεῦμα φωνοῦντος καὶ ἐν αὐτῷ τε καὶ ἐξ αὐτοῦ ἐστὶν εὐθέως ἐπάγοντος· καὶ προσέτι μὴ τὴν τῶν νῦν τῆς ἄλλως ἐκ πατρὸς καὶ ἄλλως ἐξ υἱοῦ διανοίας ἐφευρημένην παράδοσιν ἀποσκορακίζεσθαι, τοῦ μεγάλου, καὶ ἐξ υἱοῦ ἐστι, διαυγῶς τιθεμένου· καὶ παρ᾽ αὐτά, καθάπερ ἀμέλει καὶ ἐπ᾽ αὐτοῦ νοεῖται τοῦ θεοῦ καὶ πατρός, ἐπιφέροντος· καὶ ὡς οὐκ ἔστιν ἕτερον εὑρέσθαι τοῦ εἶναι καὶ τοῦ ὑπάρχειν ἀρχοειδέστερον, καὶ παραστῆσαι καθ᾽ ὕπαρξιν ἐκ τοῦδε τόδε καὶ διὰ τοῦδε σαφέστερον. Ἀλλὰ κἂν τῷ λόγῳ τῷ πρὸς Νεστόριον, οὗ ἡ ἀρχὴ – Τοῦ σωτῆρος ἡμῶν λέγοντος ἐναργῶς, ὁ φιλῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος – ὁ αὐτὸς τάδε φησὶν ἐπὶ λέξεσιν. – Εἰ καὶ ἔστιν ἐν ὑποστάσει τὸ πνεῦμα ἰδικῇ καὶ δὴ καὶ νοεῖται καθ᾽ ἑαυτό, καθὸ πνεῦμά ἐστι, καὶ οὐχ υἱός, ἀλλ᾽ οὖν ἐστιν οὐκ ἀλλότριον αὐτοῦ· πνεῦμα γὰρ ἀληθείας ὠνόμασται· καὶ ἔστι Χριστὸς ἡ ἀλήθεια, καὶ προχεῖται παρ᾽ αὐτοῦ καθάπερ ἀμέλει καὶ ἐκ τοῦ πατρός. Οὐχὶ λίαν κἀντεῦθεν καταφανὴς ἀποδιαπόμπησις τῶν διαφορὰς τῆς ἐκ πατρὸς καὶ υἱοῦ τοῦ πνεύματος πλαττόντων προχύσεως, τοῦ θεοῤῥήμονος τήνδε καθὰ παρὰ τοῦ πατρὸς, οὕτω δὴ καὶ παρὰ τοῦ υἱοῦ δογματίζοντος; Οὐχὶ ἐκ τῶνδε καὶ ἐκ τῶν ἐν ἑτέροις ῥήμασι ὁμοίοις ἐπὶ θεολογίᾳ κοινῶν διαστολῶν σαφὴς ἔλεγχος; τί δὲ καὶ Καματηρὸν οὐ προσδέξεσθε τὸν τὴν λεγομένην ἱερὰν ὁπλοθήκην συνθέμενον; Ῥωμαίοις οὗτος ἀντικαθιστάμενος γράφει· καὶ πῶς οὐχ ἕξει τὸ δεκτὸν παρ᾽ ὑμῖν· ἀλλ᾽ αἱ παρὰ τῶν ἐναντίων μαρτυρίαι πιστότεραι τοῖς τὴν ἀλήθειαν ἀνιχνεύουσιν, οἷς ἄρα καὶ ἡμεῖς συντασσόμενοι τὸν ἄνδρα καλῶς λέγειν ὁμολογοῦμεν, καθ᾽ ὅσον ἐστὶ συνᾴδων τοῖς τῶν θείων ἐκφάντορσιν. Ὡς ἐν ἐπιστασίᾳ καὶ δὴ ῥητοῦ τοῦ προκειμένου μοι τῷ λόγῳ τοῦ πατρός, ἐν ᾧ τὸ πνεῦμα ἐκ θεοῦ πατρὸς δι᾽ υἱοῦ προχεόμενον φυσικῶς καταγγέλλεται· σημείωσαι κἀνταῦθα φησί, τὴν φυσικὴν τοῦ πνεύματος πρόχυσιν, ἐκ πατρὸς δογματιζομένην διὰ τοῦ υἱοῦ· οὐ μὴν καὶ ἐκ τοῦ υἱοῦ.

ΜΕ΄.

Καὶ πάλιν ἐν ἑτέρᾳ ῥητοῦ τοῦ Νύσσης ἐπιστασίᾳ· ἐν ᾧπερ ὁ πατὴρ διὰ τοῦ υἱοῦ πεφηνέναι τὸ πνεῦμα θεολογεῖ, φησίν· ἐπίστησον ἀκριβῶς· κατὰ τί τὸ πνεῦμα συνάπτεται τῷ

υἱῷ, καὶ κατὰ τὶ τούτου ἀφίσταται. Καὶ ὅτι συναπτόμενον τούτῳ κατά τε τὸ ἄκτιστον καὶ τὸ ταὐτὸν τούτῳ καὶ ἕνα τῆς ὑπάρξεως ἔχειν αἴτιον· ἀφίσταται κατά τε τὸ μὴ ἐξ αὐτοῦ, δι᾽ αὐτοῦ δὲ πεφηνέναι· μεγάλη δὲ πάντως ἡ τοῦ ἐξ αὐτοῦ πρὸς τὸ δι᾽ αὐτοῦ διαφορά. Προσέχετε τοιγαροῦν εἰ μὴ φανερῶς οὗτος τὸ πεφηνέναι καὶ τὴν φυσικὴν πρόχυσιν εἰς τὴν τοῦ πνεύματος ὕπαρξιν ἐκλαμβάνεται· καὶ τὸ μὲν δι᾽ υἱοῦ κατ᾽ αὐτὴν κατασκευάζει στεῤῥῶς· οὐ μὴν δὲ καὶ τὸ ἐξ υἱοῦ· καὶ εἰ μὴ προδήλως ὑμεῖς μαχηταὶ καὶ πρὸς τοῦτον, οὐχ ὅπως τὴν δι᾽ υἱοῦ τοῦ πνεύματος ὕπαρξιν ἀθετοῦντες, ἀλλὰ παρὰ ταύτην δὴ τὴν αἰτίαν καὶ τὸ προχεῖσθαι καὶ τὸ πεφηνέναι, καὶ τὸ ὑπάρχειν ὁμωνυμοῦντες· ἅπερ αὐτὸς οὐδαμῶς· ὅτι δὲ καὶ οἷς οὐκ ἐκ τοῦ υἱοῦ λέγει, εὐγνωμοσύνης οὐκ ὀλίγης ἔμφασις ἐνθαδὶ φάναι χρεών. Ημεῖς ἐν ταῖς, ἴδιον υἱοῦ τὸ πνεῦμα ἐξ αὐτοῦ ἐστί, φωναῖς ἀνωτέρω, περὶ τῆς ὑπάρξεως τὸν λόγον ποιεῖσθαι τὸν εἰρηκότα θεῖον μυσταγωγὸν δεδειχότες· ἐξ υἱοῦ φαμὲν ταύτην ὡς δι᾽ υἱοῦ· τοῖς τε ἄλλοις θεηγόροις ὡς ἐν πᾶσιν ἀκολουθοῦντες κἀνταῦθα, καὶ μάλιστα τούτῳ δὴ τῷ συχνάκις διαλαμβανομένῳ πατρί, καὶ Βασιλείῳ τῷ τὴν θεωρίαν οὐρανοβάμονι, τὸ ἰσοδύναμον, οἵπερ ἑκατέρων προθέσεων, τῆς τε διὰ καὶ τῆς ἐκ περιστῶντες. Ο μὲν ἐν τοῖς πρὸς Αμφιλόχιον, πρὸς τὰ ὑπ᾽ ἀλλήλων σημαινόμενα πολλάκις ἐπὶ τῆς θεολογίας ἀντιμεθίστασθαι τὴν διὰ καὶ τὴν ἐκ. Οταν ἑτέρα τὴν τῆς ἑτέρας σημασίαν ἀντιλαμβάνει, διαγορεύει· καὶ κραταιὰν ποιεῖται τὴν διὰ τῶν παραδειγμάτων βεβαίωσιν· ὁ δὲ πιστοῦται τὸν λόγον ποτὲ μὲν ἐξ υἱοῦ, ποτὲ δὲ δι᾽ υἱοῦ δογματίζων, ἐπὶ τῇ αὐτῇ καὶ μιᾷ πραγματείᾳ. Καὶ νῦν μὲν παρὰ πατρὸς, εἶτα δι᾽ υἱοῦ διαγγέλλων, καὶ καθεξῆς· πάντα γὰρ δι᾽ ἀμφοῖν ἐπάγων. Νῦν δὲ δι᾽ ἀμφοῖν φάσκων, καὶ οὔ τοι που δυοῖν ἐπιφέρων, ἀλλ᾽ ἐξ ἑνὸς τοῦ τὰ πάντα ζωογονοῦντος θεοῦ. Καὶ πάλιν ἐξ ἀμφοῖν· ἤγουν ἐκ πατρὸς δι᾽ υἱοῦ· κἀν τούτων ἔστι μὲν μαθεῖν τὸ τῶν προθέσεων ἀδιάφορον· ἔστι δ᾽ ἑτέρωθεν αὖθις ἐκ τῶν παρὰ θεοῦ διδασκάλων, ὡς περιφανὲς ἰδεῖν τὸ διάφορον· εἶτα μὴ πάρεργον εἰς παράστασιν τὸ, τοῦ, ἐξ οὗ, καὶ δι᾽ οὗ, καὶ ἐν ᾧ, μὴ φύσεις τεμνόντων· ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας· ἐφ ᾧ κατὰ τὸν οὕτω φάμενον περίπυστον ἐν θεολογίᾳ γρήγορον νοῦν· ἡ ἐκ ἀπονενεμημένη τῷ πατρὶ κυρίως, ὡς ἀναιτίῳ καθέστηκεν. Οὐ γὰρ ἔκ τινος καὶ ὡς ἀρχικὴ μᾶλλον αἰτία καὶ ῥίζα τῶν ἐξ αὐτοῦ.

Μϛʹ.

Τῷ τοι καὶ ὁ τῶν Νυσσαίων μέγας ποιμὴν τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν παραδιδοὺς τῶν προσώπων, συμφώνως τῷ ὁμωνύμῳ· τὴν μὲν ἐκ ἀπεκλήρωσε τῷ πατρὶ θεολογήσας ἑκάτερον ἐκ τοῦ πρώτου, τὴν δὲ διά, τῷ υἱῷ, διὰ τοῦ προσεχῶς τὸ πνεῦμα προσφυῶς διαρθρώσας. Κἀντεῦθεν τὴν πρώτην καὶ ἀρχικὴν αἰτίαν τρανώσας· ὅθεν τὴν οὕτως ἔχουσαν ἐκ, τῷ υἱῷ προσαρμοσθῆναι τὸ παράπαν ἀδύνατον. Τὴν δέ γε μᾶλλον ὁμολογίαν αὐτῆς κεκτιμένην διὰ ταύτης ἐξεχόμενος ἀκραιφνέστατα τῆς θεολογίας καὶ ὁ χαριτώνυμος Δαμασκόθεν θεῖος πατὴρ, ἐκ τοῦ υἱοῦ δὲ τὸ πνεῦμα οὐ λέγομεν, εἴρηκε· καὶ μόνος αἴτιος ὁ πατὴρ, ἑπομένως τοῖς ῥηθεῖσιν ἀρχηγέταις τῆς εὐσεβείας. Τὴν δὲ δι᾽ υἱοῦ φυσικὴν καὶ ἀΐδιον τοῦ πνεύματος ὕπαρξιν διαπρυσίως ἀνακηρύττει, δι᾽ υἱοῦ ἐκπορευόμενον, καταγγέλλων· κἀκ τῆς πρώτης αἰτίας δι᾽ υἱοῦ κατὰ τὸν Νύσσης διερμηνεύει· προβολέα διὰ λόγου πνεύματος τὸν πατέρα διδάσκων. Ιδωμεν οὖν ἐφεξῆς εἰ μὴ τῷ Καματηρῷ ῥοπή τις πρὸς ταῦτα, καὶ παρὰ τοῦτο καὶ πρὸς ἡμᾶς· καὶ πρῶτα μὲν δυσὶ ταῖς ἀνατεθείσαις ἐπιστασίαις, τὴν δι᾽ υἱοῦ τοῦ πνεύματος ὕπαρξιν ὁμολογουμένως ἐκφαίνει· καὶ συλλαβαῖς ἐπείπερ αὐταῖς ἐν ἑτέραις ἐπιστασίαις προφέρει, μὴ ἐξ αὐτοῦ δ᾽ ἔπειτα, δι᾽ αὐτοῦ δέ· καὶ τὸ, μεγάλη πάντως ἡ τοῦ ἐξ αὐτοῦ πρὸς τὸ δι᾽ αὐτοῦ διαφορὰ φάσκων, ὡς οὐκ ἐναντιοῦται, τῇ ἀληθείᾳ·

σαφὲς ἐκ τῶν ἤδη λελεγμένων, κατὰ τοὺς τοῦ πνεύματος ὑποφήτας, καὶ οὐκ ἀμφίβολον·

ΜΖ΄.

Εἰδέ τις ἐξ ὑμῶν ἐνστῆναι θελήσειεν· ἢ μὴν μὴ κατὰ τὸ σημαινόμενον μόνον τῆς ἀρχικῆς αἰτίας, τοῦ υἱοῦ τὴν ἐκ, αὐτὸν ἀποδιϊστᾶν· ἀλλὰ κατὰ πάντα λόγον ἁπλῶς φανήσεται τὸ μὴ ὂν λέγων, οὐχὶ τὸ ὄν· εἴπερ οὗτος κράζει διατόρως, ὡς τὴν ἐξ, ἐπὶ τοῦ υἱοῦ πάντες οἱ πατέρες ἀντὶ τῆς διὰ ἐκλαμβάνονται. Πάντως γὰρ ὁ ταῦτα λογογραφῶν, πρότερον μαρτυρεῖ τὴν ἐκ, τοῖς πατράσι καὶ πᾶσιν ἐκφωνεῖσθαι· καὶ τότε κατὰ τὴν ὁμολογίαν, ἀντὶ τῆς διὰ ἐκλαμβάνεσθαι, μὴ ἐκφωνουμένην, ἐπιληφθῆναι· μὴ καὶ παράλογον ᾖ φάναι παντάπασιν. Ἀλλ᾽ εἴτ᾽ εὐγνωμόνως, εἴθ᾽ ὑπ᾽ ἀνάγκης συνωθούμενος οὗτος διαβεβαιοῦται ταυτί, θειασμὸς καὶ χάρις, ὅτι πολλῇ τῇ ἰσχύϊ τῆς ἀληθείας τῇ καὶ τοὺς ἐναντιουμένους συνελαυνούσῃ κήρυκας αὐτῆς, ὅπως δήποτε γίνεσθαι. Τοίνυν ἐν τῇ τοῦ θεολήπτου Κυρίλλου ῥήσει τῇ τὸ πνεῦμα λεγούσῃ τὸ ἅγιον οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ πατρὸς δι᾽ υἱοῦ προχεόμενον, οὑτωσί πως ἐφιστῶν ὁ τοιοῦτος φησίν. Ἰδοὺ γὰρ ἐξ ἀμφοῖν κἀνταῦθα τὸ πνεῦμα προχεῖσθαι λαλήσας ὁ θεῖος οὗτος πατὴρ τὰς προθέσεις διεῖλε. Καὶ τὴν μὲν ἐκ τῷ πατρί, τὴν δὲ διὰ τῷ υἱῷ ἀπένειμεν, ἵνα δείξῃ σοι σαφῶς, ὅτι τὴν ἐξ πρόθεσιν ἐπὶ τοῦ υἱοῦ ἀντὶ τῆς διὰ ἐκλαμβάνεται. Καὶ πάλιν ἐν ἑτέρᾳ τοῦ αὐτοῦ, τῇ παρ᾽ ἡμῶν ἀνωτέρω φθασάσῃ τεθεῖναι· τῇ ἴδιον υἱοῦ κηρυττούσῃ τὸ πνεῦμα τὸ ἅγιον ἐν αὐτῷ τε καὶ ἐξ αὐτοῦ ὂν καθάπερ ἀμέλει καὶ ἐπ᾽ αὐτοῦ νοεῖται τοῦ θεοῦ καὶ πατρός, οὕτω φησίν. Ἐνταῦθα μὴ θροείτω σε τὸ ἐξ αὐτοῦ, ὅτι τὴν ἐξ ἐπὶ τοῦ υἱοῦ οἱ ἅγιοι πάντες ἀντὶ τῆς διὰ ἐκλαμβάνονται. Τηλεφανῶς οὖν πάρεστι καθορᾶν καὶ τόνδε τῷ θεολαμπτῆρι μαρτυρόμενον, ἐπὶ τῆς ὑπάρξεως λελέχθαι τὸ ἐξ υἱοῦ, καθὰ δὴ θεωρεῖται καὶ ἐπὶ τοῦ πατρός· καὶ μὴ διαφορὰν πρὸς τὸ ἐκ πατρὸς ἄλλην ἔχειν, ἢ τὸ ἐξ αὐτοῦ λέγεσθαι, ἀντὶ τοῦ δι᾽ αὐτοῦ. Τοῦτο φαμὲν καὶ ἡμεῖς, καὶ τὴν ἐκ ἐνθάδε ταυτοδύναμον οἴδαμεν τῇ διά, καὶ πατρικῆς παραδόσεως τὸ ἐξ υἱοῦ τε λέγειν καὶ δι᾽ υἱοῦ, τῶν προθέσεων ἑκατέρων οὕτω συντρεχουσῶν· τὴν δέ γε μὴ οὕτως ἔχουσαν ἐκ, ἀλλὰ τὴν ῥίζαν καὶ τὴν ἀναίτιον ἀρχὴν παριστῶσαν, τῷ πατρὶ μόνῳ κατὰ τοὺς τῶν ἀπορρήτων ἱερομύστας ἀφιεροῦντες, ἥκιστα τῷ υἱῷ καθὼς ἔφθημεν εἰρηκότες ἁρμόττομεν. Καὶ εἰ μὴ ἐντεῦθεν οὐ μόνον ἐκ τῶν θεοειδῶν διδασκάλων, ἀλλὰ καὶ τῶν πολλῷ μετ᾽ ἐκείνους· καὶ ὧν ὑμεῖς τῆς μερίδος εἶναι φατέ, πάμπαν ἀπεισχοίνισθαι τὰ Θεοδωρήτου, λογικῆς ὄντες παιδείας πλήρεις κατανοήσονται.

ΜΗ΄.

Προσέτι γε μὴν κἀκεῖνο, πῶς ἀλλοτριοῦντα τοῦ υἱοῦ τὸ πνεῦμα τὸν τοιοῦτον ὁ πολὺς τὰ θεῖα πατὴρ ἀπελέγχει; Δεόντως μὲν οἷς οὕτως σπεύδει τὸ παρὰ πατρὸς ἴδιον υἱοῦ δεικνῦναι πνεῦμα· οὐ μὴν τὸ ὡς παρὰ υἱοῦ ἢ δι᾽ υἱοῦ τὸ παράπαν· ὁ δὲ μέγας τὸ παρὰ πατρὸς λαμβάνων, ὡς μή τινος ἐν τούτῳ προκειμένης ἀμφιβολίας, πρὸς τὸ μὴ παρὰ υἱοῦ, ἢ μὴ δι᾽ υἱοῦ, τὸ μὴ ἀλλότριον αὐτοῦ καθεστάναι στεῤῥοτάτως ἀντιπροτείνει. Μονονουχὶ λέγων· παρὰ πατρὸς ὄν, καὶ παρὰ υἱοῦ ἢ δι᾽ υἱοῦ πέφυκεν ἐναργῶς. Ἐπειδὴ τούτου γε οὐκ ἀλλότριον. Εἰδ᾽ οὖν τὸ παρὰ πατρός, πῶς ἴδιον υἱοῦ μὴ παρ᾽ αὐτοῦ τυγχάνον· ἔσται μὲν οὖν ἐντεῦθεν μᾶλλον ἀλλότριον· καὶ ὅτι τοῦτο, σαφὴς αὐτός ἐστι τῶν οἰκείων ἐξηγητής. Ἐν γὰρ τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην περὶ τοῦ· ὅταν οὖν ἔλθῃ ὁ παράκλητος, διαλαμβάνων, οὕτω κατὰ ῥῆμά φησιν. Εἰ γὰρ ὑπουργίαν διακονικὴν ἀποπληροῦν οἴεσθε τὸν υἱόν, τὸ ἀλλότριον ὑμῖν, τουτέστι τὸν παρὰ τοῦ θεοῦ καὶ πατρὸς κεχορηγηκότα, ἅγιον ὂν κατὰ φύσιν πνεῦμα· οὐ κατὰ φύσιν ἅγιος ὁ υἱός· κατὰ μέθεξιν δέ, ὥσπερ ἡμεῖς, σκέψασθε τοῦ λοιποῦ

συνετῶς, ὅπως ἐντεῦθεν καθαρῶς τὸν ἀντίθετον ἄγχει, δεικνὺς τὸ ἀλλότριον υἱοῦ συμπεραίνειν, οἷς τὸ παρὰ πατρὸς ὄν, ἴδιον υἱοῦ φάσκει πνεῦμα, μὴ δι' αὐτοῦ ἢ παρ' αὐτοῦ λέγεσθαι συγχωρῶν. Καὶ ὅπως σὺν αὐτῷ καὶ λοιποὺς ἑτέρους ἐπιστομίζει, τοὺς ἐκ τῆς πέμψεως καὶ χορηγίας καὶ δόσεως τοῦ πνεύματος δι' υἱοῦ· τὴν δι' αὐτοῦ φυσικὴν τούτου καὶ ἀΐδιον ὕπαρξιν ἀθετοῦντας, διϊσχυριζομένους ταύτας δηλοῦσθαι δι' υἱοῦ χρονικὰς οὔσας, καὶ μὴ τὴν ὑπέρχρονον ἐκείνην, καὶ προαιώνιον πρόοδον· ἐπείπερ ἐκ πατρὸς αὕτη καὶ οὐ δι' υἱοῦ. Τί καὶ γὰρ πρὸς ταῦτα φαῖεν οὕτως ἀποφαινόμενοι; Ἔξουσιν ἐρεῖν ἐντεῦθεν μὴ ἀλλοτριοῦν τοῦ υἱοῦ τὸ πνεῦμα, καὶ μὴ λειτουργικὴν αὐτὸν παριστάνειν ἀνύειν χρείαν, κατὰ τὸν οὕτω διηρμηνευκότα κήρυκα τοῦ εὐαγγελίου, καὶ μὴ τὸν κατὰ φύσιν ἁγιασμὸν ἀφαιρεῖν τὸν υἱόν, διδόναι δὲ τούτῳ τὸν κατὰ μέθεξιν, ὡσεί τινι τῶν ἀποστόλων τυχόν, ἢ τῶν ἄλλων σημειοφόρων ἀνδρῶν, τὸ παρὰ πατρὸς ἐνιστάμενοι δι' υἱοῦ χορηγεῖσθαι, καὶ μὴ τὸ παρ' αὐτοῦ τὸ σύνολον, ἢ δι' αὐτοῦ; πολλοῦ γε καὶ δεῖ. Τί δὲ καὶ πρὸς ὄνησιν σφίσιν τὸ χρονικὴν εἶναι τὴν πέμψιν λέγειν, καὶ παρὰ τοῦτο τὴν δι' υἱοῦ σπεύδειν ἀΐδιον ἔκπεμψιν ἀποπέμπεσθαι; Τὸ μὲν οὖν τῶν ἐν χρόνῳ καθεστάναι, τὴν πέμψιν καὶ δόσιν καὶ χορηγίαν; Ἐπεί τι γε πρὸς ἡμᾶς πᾶς συνομολογήσειεν, οὐμὴν ἐντεῦθεν τὴν ἄχρονον δι' υἱοῦ καὶ φυσικὴν τοῦ πνεύματος ἔκφανσιν ἀθετήσειε, μέντοι γε καὶ μᾶλλον ἐκ τῶν ἐγχρόνων τῶνδε, κἀκείνην προαιώνιον οὖσαν διαῤῥήδην ἀναγορεύειε· καὶ ὅτι περ ἐκείνη, καὶ ταύταις γνοίη τὸ ἀσφαλές, καὶ πάγιον πρὸς εὐθύτητα. Ὡς γὰρ οὐσιωδῶς δι' υἱοῦ τὴν ὕπαρξιν ἔχον καὶ ἀϊδίως φανερωθείη ἂν πρὸς ἡμᾶς δι' αὐτοῦ, καὶ χορηγηθείη τὸ πνεῦμα τὸ ἅγιον. Εἰ δ' οὖν ὡσεί τινος ὑπηρέτου τὸ ἀλλότριον δι' αὐτοῦ δοθείη, τουτέστι, τὸ παρὰ τοῦ πατρὸς κατὰ τὸν οὕτω τεθεολογηκότα διδάσκαλον, φάναι δ' εἰ προβήσονται, μὴ καὶ τοῦ προδήλως πάντη πατράσιν ἐναντιοῦσθαι φειδόμενοι· πῶς τὸ ἀλλότριον, εἴπερ ὡς ὁμοούσιον διατεινόμεθα, δίδοσθαι δι' υἱοῦ.

ΜΘ΄.

Διὰ βραχέων ἀκούσωσιν ἄν, ὡς εὖγε τῆς πρὸς τὸν θεοφόρον ὑμῶν ἀντιθέσεως· κατὰ γοῦν τὰς ταύτης καινὰς παραδόσεις, πεμπόμενον δι' υἱοῦ τὸ πνεῦμα πεμφθήσεται καὶ διὰ τοῦ πνεύματος, ὡς ὁμοούσιος ὁ υἱός, διδόμενον δι' υἱοῦ τὸ πνεῦμα, δοθήσεται καὶ διὰ τοῦ πνεύματος ὁ υἱός· καὶ ποῦ ταῦτα; ποῦ πεμψις, ἢ δόσις υἱοῦ διὰ πνεύματος; εἰ μή πού τις ἐρεῖν ἐθέλει καθ' ἕτερον λόγον τὸν τῆς ἀῤῥήτου σαρκώσεως, νοουμένης ἐν αὐτῇ τῆς πέμψεως κατὰ τὸ κτιστόν, ὡς τὸ κύριος ἀπέσταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ· ἐνταῦθα δὲ ποῦ; ποῖα τις ἡ ταῦτα θεσμοθετοῦσα γραφή, κατ' αὐτούς, ὡς ἔοικεν ἄλλη τις ἔχει φανεῖσα, παρὰ τὴν ἐφ' ἧπερ ἡμεῖς ἐδραξόμεθα· καί τοι γε τό, ὡς ὁμοούσιον υἱοῦ, πέμπεσθαι δι' αὐτοῦ τὸ πνεῦμα, καθὼς ἔχον ἐστίν, εἴπερ εἰλημμένον εἴη τὸ ὁμοούσιον, ὡς ἑπόμενον ἡγουμένῳ τῷ δι' υἱοῦ κατὰ τὴν ὑπέρχρονον ὕπαρξιν. Ο καὶ πρότερον δεδηλώκαμεν, τῆς ἀληθείας ἐξέχεται καθαρῶς, καὶ παρίστησιν οὐκ ἀναιρεῖ τὸ ζητούμενον· εἰ δὲ μὴ οὕτως, οὔτε τὸ ὁμοούσιον ἂν καλῶς ληφθείη, καὶ τὸ ἀλλότριον, καὶ τὸ τῆς ὑπουργίας ἐξ ἀνάγκης ἀκολουθήσαιεν· καὶ ὅτι ταῦτα, καὶ ὡς ὁ πολὺς τὴν ἔνθεον ἐπιστημην, οὐχ ἅπαξ τὸν ἐξ ἐναντίας, ἀλλὰ καὶ πολλάκις ἀποῤῥαπτίζει καὶ τοὺς σὺν αὐτῷ μὴ ἀνεχομένους ἐξ υἱοῦ, ἢ δι' υἱοῦ τὸ πνεῦμα τρανοῦν, εἰς βεβαίωσιν ὑμῖν καὶ ταῦτα προκείσθωσαν· ἐν τῷ πρὸς βασιλέα Θεοδόσιον λόγῳ διέξεισιν οὑτωσί· βαπτίζοντα ἔφη τὸν Ἰησοῦν οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέντα πνεῦμα δουλοπρεπῶς, ἀλλ' ὡς θεὸς μετ' ἐξουσίας τῆς ἀνωτάτω τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ. Κἂν τῷ πρὸς Ἑρμείαν ἑβδόμῳ λόγῳ· Καὶ γοῦν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς περὶ παντὸς οἶμαι πιστοῦ τε καὶ ἀγαθοῦ – ἐλευσόμεθα, φησίν, ἐγὼ καὶ ὁ πατὴρ καὶ μονὴν παρ' αὐτῷ

ποιησόμεθα – καὶ ἐν γε τούτῳ γινώσκομεν, ὅτι ἐν ἡμῖν ἐστιν, ἐκ τοῦ πνεύματος, οὗ ἔδωκεν ἡμῖν· ἔνοικον γὰρ καὶ ἐνυλισμένον καταπλουτείη τις ἂν τὸν φύσιν τε καὶ ἀληθῶς ὄντα θεόν, οὐκ ἀλλότριόν τι καὶ διεσπασμένον οὐσιωδῶς αὐτοῦ τὸ πνεῦμα λαβών· ἀλλὰ τὸ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ ἴδιον αὐτοῦ, καὶ τὴν ἴσην ὡς πρὸς αὐτὸν κυριότητα φοροῦν.

Ν΄.

Καὶ αὖθις ἐν τῇ εἰς τὸ ῥητὸν τοῦ κατὰ Ἰωάννην ἑρμηνείᾳ· τὸ, ἐκεῖνος ὑπομνήσει ὑμᾶς πάντα, ἃ εἶπον ἐγώ· – Οὐκοῦν ὡς εἰδὼς τὰ ἐν τῇ βουλῇ τοῦ μονογενοῦς, πάντα ὑμῖν ἀναγγελεῖ τὸ πνεῦμα, οὐκ ἐκ μαθήσεως ἔχον τὴν εἴδησιν, ἵνα μὴ φαίνηται διακόνου τάξιν ἀποπληροῦν· ἀλλ' ὡς πνεῦμα αὐτοῦ, καὶ εἰδὸς ἀδιαστάτως πάντα τὰ ἐξ οὗ καὶ ἐν ᾧπερ ἐστί. Τί κἀκ τούτων ἐρεῖτε; πάντως οὐκ ἐν ἀμφιβόλοις ὡς ἀντιτίθησιν ὁ πατὴρ τὸ ἀλλότριον πρὸς τὸ ἐξ αὐτοῦ· καὶ τῇ τῶν ἀντικειμένων ἑνὸς ἀναιρέσει τὴν κατασκευὴν θατέρου ποιεῖται τῇ τοῦ ἀλλοτρίου, δηλαδὴ τὴν τοῦ ἐξ αὐτοῦ. Προσέτι γε μὴν οὐκ ἀμφιδοιάσιμον· ἐξ ὧν προδιειληφότες ἐσμὲν ἐμφανῶς, ὡς περὶ τῆς φυσικῆς ὑπάρξεως ἐν τούτοις ὁ λόγος· ἄλλως τε καὶ τοῦ – ἐστίν – ἐνταῦθα κειμένου τῶν χρήσεων ἐν μιᾷ· ταῖς δέ γε δυσὶν εἰλημμένου κατ' ἔλλειψιν· καὶ ὡς ἡ ἐκ ἐπὶ υἱοῦ σύνδρομος τῇ διά, καὶ τοῦ λοιποῦ τι συμπεραίνων ἐστίν, ὁ τὸ ἐξ υἱοῦ μὴ δεχόμενος, περιττὸν λέγειν· τηλαυγῶς καθορώμενον· καὶ τοῦτο δὲ σκοπῆσαι χρεὼν ἐκ τῶν προτεθέντων· ὡς ἧπερ ὁ υἱὸς βλασφημίᾳ, τῇ αὐτῇ καὶ τὸ πνεῦμα καθυπαχθήσεται καὶ διακονικὴν ἀποπληροῦν τάξιν φανήσεται· μὴ τὰ τοῦ μονογενοῦς ἐναγγέλλον, ὡς ὂν ἐξ αὐτοῦ. Πῶς γὰρ ἂν ἀδιαστάτως εἰδοίη πάντα τὰ ἐξ οὗ καὶ ἐν ᾧπερ ἐστί, κατὰ τὸν οὕτως εἰρηκότα πατέρα, μὴ πεφυκὸς ἐξ αὐτοῦ· ὅπου γε καὶ τὸ ὡς πνεῦμα υἱοῦ ληφθὲν ἐνθάδε, τὸ δι' αὐτοῦ φανεροῖ, παθῶς ἤδη δειχθήσεται: Περὶ τούτου γὰρ ἀναγκαῖον ἀπάρτι τῷ λόγῳ διαλαβεῖν, ἐκ τῶν πρὸς ἀπολογίαν κειμένων τῷ θεσπεσίῳ, περιφανῶς ἀποσοβεῖσθαι, τὸν ἀντίδικον παριστάνοντι· κἀπειδὴ ταύτῃ περιεχόμενον, καὶ τὸ ἦν καὶ ἔσται τοῦ υἱοῦ πνεῦμα, καθάπερ ἀμέλει καὶ τοῦ πατρός.

ΝΑ΄.

Ἔτι κἀντεῦθεν τὰ τῆς ἀνασκευῆς ἐκείνου δῆλα γενήσεται, τοῦ θεοσόφου τοῦδε καὶ λοιπῶν ἰσοκλεῶν θεοφόρων, ἐξ αὐτῆς, ῥήσεως εὐαγγελικῆς τε καὶ ἀποστολικῆς, τῆς τὸ πνεῦμα τῆς ἀληθείας λεγούσης, πνεῦμα υἱοῦ, πνεῦμα Χριστοῦ, δεικνύντων ἐξ υἱοῦ τε καὶ δι' υἱοῦ, καὶ κατασκευαζόντων εἰλικρινῶς. Αὐτίκα τοίνυν Κύριλλος ὁ θεόφρων εἰς τὸ – οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ – διερμηνεύων οὕτω φησί· – Πνεῦμα τῆς ἀληθείας τουτέστι τὸν παράκλητον ἀποκαλεῖ· οὐ γὰρ ἀλλότριον τῆς τοῦ μονογενοῦς οὐσίας τὸ ἅγιον νοεῖται πνεῦμα, πρόεισι δὲ φυσικῶς ἐξ αὐτῆς, οὐδὲν ἕτερον παρ' αὐτὸν ὑπάρχων εἰς ταυτότητα φύσεως, εἰ καὶ νοεῖται τυχὸν ἰδιοσυστάτως. – Ὁ ὑψηλόνους μέγας Βασίλειος ἐν ἑνὶ τῶν κεφαλαίων, οὗ ἡ ἐπιγραφή – διὰ τί μὴ καὶ τὸ πνεῦμα υἱὸς τοῦ υἱοῦ – τάδε φάσκει θεολογῶν, – Διὰ δὴ τοῦτο τὸ μὲν ἐκ θεοῦ τὸ πνεῦμα εἶναι, τρανῶς ἐκήρυξεν ὁ ἀπόστολος λέγων, ὅτι τὸ πνεῦμα τὸ ἐκ θεοῦ ἐλάβομεν· καὶ τὸ δι' υἱοῦ πεφηνέναι σαφῶς πεποίηκεν, υἱοῦ τὸ πνεῦμα ὀνομάσας αὐτὸ, καθάπερ θεοῦ, καὶ νοῦν Χριστοῦ προσειπών, καθάπερ καὶ θεοῦ πνεῦμα, ὡς τοῦ ἀνθρώπου· – Ὁ ἱεροφάντωρ τῶν Νυσσαίων ποιμὴν ἐν τῇ εἰς τό. – Πάτερ ἡμῶν ὁμιλίᾳ δογματίζων, οὕτω διαγορεύει· – Ὁ γὰρ μονογενὴς υἱὸς ἐκ τοῦ πατρὸς παρὰ τῆς ἁγίας γραφῆς ὀνομάζεται. Καὶ μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτοῦ τὸ ἰδίωμα· τὸ δὲ ἅγιον πνεῦμα καὶ ἐκ τοῦ πατρὸς λέγεται καὶ ἐκ τοῦ υἱοῦ εἶναι προσμαρτυρεῖται. Εἰ γάρ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, φησίν, οὗτος οὐκ ἔστιν αὐτοῦ. – Οὐκοῦν τὸ μὲν πνεῦμα τὸ ἐκ θεοῦ καὶ Χριστοῦ πνεῦμα ἐστίν· ὁ δὲ υἱὸς ἐκ τοῦ θεοῦ ὤν, οὐκέτι καὶ

τοῦ πνεύματος οὔτε ἐστὶν, οὔτε λέγεται. Οὐδὲ ἀντιστρέφει ἡ σχετικὴ ἀκολουθία αὕτη. -

NB'.

Τρισὶ μὲν οὖν ἐκ πολλῶν μαρτυρίαις ταύταις καὶ παρὰ τριῶν προηγμέναις ἀκραδάντων θεμελίων τῆς ἐκκλησίας ἀρκεσθησόμεθα, καταλείψαντες ὑμῖν ἐσκεμμένως ἀθρεῖν· ὅπως οὗτοι, κατασκευαστικαῖς ἀναγκαίαις ἐπαγωγαῖς, ἐξ υἱοῦ σαφῶς εἶναι τὸ πνεῦμα, καὶ δι᾽ υἱοῦ πεφηνέναι πιστοῦνται· καὶ σφῶν ὁ μὲν δείκνυσιν ἐκ τῆς πνεῦμα τῆς ἀληθείας φωνῆς· ὁ δὲ ἐκ τῆς πνεῦμα υἱοῦ, καὶ θάτερος ἐκ τῆς πνεῦμα Χριστοῦ, καθὰ δὴ τεταχότες προὐθέμεθα· καὶ τοῦ εἶναι καὶ δι᾽ υἱοῦ πεφηνέναι τὸ διαυγὲς κατοπτεύειν. Καὶ μηδὲ Καματηροῦ λελῆσθαι περὶ πλείστου τὸ μετ᾽ αὐτοῦ τιθεμένοις ἐγκρίνεσθαι· λοιπὸν δ᾽ ἡμῖν ἐσεῖται τὸ ἐκ τοῦ ἐμοῦ λαμβάνει. Ταῦτα γὰρ ὁ μέγας τῆς ἀληθείας ὑπέρμαχος ἐπ᾽ ἀνατροπῇ τοῦ κατ᾽ αὐτοῦ ψευδέσιν ἐπινοίαις κεκινημένου προτίθησιν. Ὀψόμεθα γοῦν εἰ μὴ κἀκ τούτου δαψιλῆ τὸν ἔλεγχον ὁ τοιοῦτος, τῆς ἐξ υἱοῦ ἢ δι᾽ υἱοῦ τοῦ πνεύματος ἀπαρνήσεως ἐπιφέρεται. Καὶ πρῶτα μὲν ὁ γενναῖος οὗτος τῆς εὐσεβείας προασπιστὴς, ἐκ τῆς εἰς αὐτὸ τὸ - ἐκ τοῦ ἐμοῦ λήψεται - φωτοφανοῦς ἑρμηνείας, ἀποδεῖται τοῦτον, οὕτως ἀντιτιθείς, - Ἐπειδὴ δὲ ὁμοούσιόν τέ ἐστι τῷ υἱῷ καὶ πρόεισι θεοπρεπῶς δι᾽ αὐτοῦ, πᾶσαν αὐτοῦ τὴν ἐφ᾽ ἅπασι τελειοτάτην ἔχον ἐνέργειάν τε καὶ δύναμιν, διὰ τοῦτο φησὶν, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται. Ὑφεστάναι γὰρ αὐτὸ καθ᾽ ἑαυτὸ τὸ πνεῦμα πιστεύομεν· εἶναί τε κατὰ ἀλήθειαν τουθ᾽ ὅπερ ἐστὶ καὶ λέγεται· ἐνύπαρχόν γε μὴν τῇ οὐσίᾳ τοῦ θεοῦ, πρόεισιν ἐξ αὐτῆς. Καὶ αὖθις περί που τὸ τέλος τῆς αὐτῆς ἐξηγήσεως· - ἀκατηγόρητον οὖν παντελῶς καὶ λοιδορίας ἔξω κείσεται, τὸ λαβεῖν λέγεσθαί τι παρὰ τοῦ μονογενοῦς τὸ πνεῦμα αὐτοῦ· προϊὸν γὰρ δι᾽ αὐτοῦ φυσικῶς, ἴδιον αὐτοῦ, μετὰ πάντων ὧν ἔχει τελείως λαμβάνειν λέγεται τὰ αὐτοῦ. - Μετέπειτα σὺν τούτῳ καὶ ὁ τῆς ἐκκλησίας θεοφεγγὴς φωστὴρ Ἐπιφάνιος ἐν τῷ καλουμένῳ λόγῳ - Αγκυρωτῷ - τὸν αὐτὸν ἀποῤῥαπίζει, τάδε κατὰ ῥῆμα διεξιών, - Πνεῦμα ἅγιον οὐ συνάδελφον, οὐ πατράδελφον· ἀλλ᾽ ἐκ τῆς αὐτῆς οὐσίας πατρὸς καὶ υἱοῦ· αὐτὸς γὰρ ὁ μονογενὴς λέγει τὸ πνεῦμα τοῦ πατρὸς, καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, καὶ ἐκ τοῦ ἐμοῦ λήψεται, ἵνα μὴ ἀλλότριον νομισθείη πατρὸς καὶ υἱοῦ. - Καὶ μετὰ πολλὰ λίαν· ἀμφότερα κατοικεῖ ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ· ὁ Χριστὸς καὶ τὸ πνεῦμα αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐκ πατρὸς πιστεύεται θεὸς ἐκ θεοῦ καὶ τὸ πνεῦμα ἐκ τοῦ Χριστοῦ· ἢ παρ᾽ ἀμφοτέρων, ὥς φησιν ὁ Χριστὸς, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται καὶ οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται· - Καὶ μετά τινα· Ὃν γὰρ τρόπον οὐδεὶς ἔγνω τὸν πατέρα, εἰ μὴ ὁ υἱὸς, οὐδὲ τὸν υἱὸν, εἰ μὴ ὁ πατὴρ· οὕτω τολμῶ λέγειν, οὐδὲ τὸ πνεῦμα, εἰ μὴ ὁ πατὴρ καὶ ὁ υἱὸς, παρ᾽ οὗ ἐκπορεύεται, καὶ παρ᾽ οὗ λαμβάνει· καὶ οὐδὲ τὸν υἱὸν καὶ τὸν πατέρα, εἰ μὴ τὸ πνεῦμα τὸ ἅγιον, τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα, τὸ παρὰ τοῦ πατρὸς καὶ ἐκ τοῦ υἱοῦ.

NΓ'.

Ταῦτα καθόσον ἦν ἐγχωροῦν ἐκ τῆς ἀναπτύξεως τῶν πρὸς ἀπολογίαν τεθειμένων τῷ θεοειδεστάτῳ πατρὶ Κυρίλλῳ συνοπτικῶς παρεθήκαμεν, κεφαλαιωδῶς, ὡς ἔστιν ὁρᾶν παρισταμένων, εἴς τε τὸ ἐκ τοῦ ἐμοῦ λαμβάνει· καὶ τὸ πνεῦμα υἱοῦ τό τε ἴδιον καὶ οὐκ ἀλλότριον, ἄμφω τῇ δυνάμει ταὐτὰ πεφυκότα διελθόντες ὡς κατ᾽ ἐκφώνησιν ἕτερα. Τούτοις γὰρ καὶ οὐ πλείοσιν ὁ μέγας τὰς ἀμοιβαίας ἀποκρίσεις ἐπιπλέκει πρὸς Θεοδώρητον. Σφῶν οὐκοῦν ἀφ᾽ ἑκάστου σκέψασθε τοῖς καταστρωθεῖσι προσχόντες· ἀλλὰ καὶ τοῖς ἀλλαχόσε τοῦδε τοῦ σοφοῦ ποιμένος προηγουμένως, εἶτα καὶ λοιπῶν θεηγόρων, εἰ τῶν αὐτοῦ πρὸς τὰ ἐκείνου σύμβασις ὅλως· ἢ τούτου γε μὴ ὄντος, εἰ τὰ τῆς διαμά-

χης ἐν ὑφειμένοις· ἢ πρὸς ἐνίων καὶ μὴ διὰ πάντων· μήτε μὴν περιφανῆ διαφερόντως, καὶ πρὸς τὸ τῆς ἐναντιώσεως ἄκρον ἱκόμεν.

ΝΔʹ.

Εἰ δὲ ταῦτα, ποῦ χώρα παῤῥησίας δεικνύειν ὑμᾶς πειρᾶσθαι, μὴ τῆς ἐξ υἱοῦ, ἢ δι' υἱοῦ, τοῦ πνεύματος ὑπάρξεως ἄρνησιν, τῇ καταδίκῃ σὺν τοῖς ἄλλοις καθυποβληθῆναι τοῦ ἀναθέματος, ἐκ τοῦ πλεῖστα φάσκειν τῶν τοῖς κεφαλαίοις ἐμπεριειλημμένων, τῆς κοινῆς πᾶσιν ὁμολογίας ὑπάρχειν. Ὡς ἐντεῦθεν καὶ τήνδε σφίσι συγκαταλέγειν, οἷς ἥκιστα τὰ τῆς εὐθύνης ἁρμόττοντα τὸ τῆς ὑπερθέσεως, ὡς ἂν ἐν ἀρχῇ μοι τῶν περὶ ταῦτα λόγων τεθὲν θεωρήσωμεν· καὶ ποῦ θέσεως τῆς κοινῆς, ποῦ τῆς ὁμολογουμένης ἀναγορεύσεως, ἢ ἐξ υἱοῦ, ἢ δι' υἱοῦ τοῦ πνεύματος ἀποσόβησις. Οὐκ ἔστιν ὃς τῶν λόγῳ καὶ μὴ ἀλογίᾳ διοικουμένων ἀκοῦσαι ταῦτα, μήτι γε καὶ ἐρεῖν τὸ παράπαν ἀνάσχοιτο· μεγαληγόρως ὁ θεῖος μυσταγωγός, ὅπερ ἦν τῶν τοῦ ἀντιθέτου τῆς ἀναμφιλέκτου τρανώσεως· ἀνακηρύττει καὶ διαγγέλλει· τὸ ἐκ τοῦ πατρὸς δηλαδή· τοῖς δ' ἄλλοις ἅπασιν ἀντιτίθησιν· οὐχ' ὅπως ἐξ ὧν ἀναντιῤῥήτως κατασκευάζεται τὸ παρ' αὐτοῦ σφοδροτάτως ἀποῤῥιπτόμενον, ἀλλὰ καὶ τὸ δεινάς, ὡς δέδεικται, τούτῳ τὰς βλασφημίας ἐντεῦθεν προσμαρτυροῦν· κἂν εἰς ἐπιβαλεῖν ἔτι τῇ τοῦ μάκαρος ἀντιλογίᾳ προσεκτικοῖς ὀφθαλμοῖς ἐθελήσειεν, ὄψεται τόνδε κἀνταῦθα τοῖς βατταρισμοῖς Νεστορίου παριστάνεσθαι συνδιατιθέμενον, οὗ καὶ πρὸς τοὺς σφετέρους εὕρηταί που παράδοσις ἐν συμβόλῳ, μήτ' ἐξ υἱοῦ, μήτε δι' υἱοῦ τὸ πνεῦμα διαγορεύουσα.

ΝΕʹ.

Πλὴν οἱ μετέπειτα πνευματοφόροι πατέρες, τὰ μὲν τοῦ θειοτάτου Κυρίλλου κρατύνοντες ἀπαρέγκλιτα, τὰ δέ γε κατ' αὐτοῦ λαληθέντα τέλεον ἀποσκορακίζοντες, ἀναθέματι πάνθ' ὁμοίως παραδεδώκασιν, οὐκ εἴ τί που τούτοις τῶν ἀμφοῖν καὶ κοινῇ πᾶσιν ὡμολογημένων ἐνῆν. Τίς ἡ ἐντεῦθεν, πλήρης ματαιότητος εὑρεσιλογία· πρὸς τοῖς ἄλλοις καὶ τὰ περὶ ὧν ὁ λόγος. εἴ γε καὶ ταῦτα τῶν κατὰ Θεολήπτου, τοῦδε πατρὸς ἐξενηνεγμένων σαφέστατα; Πρὸς γοῦν τὸ μηδὲν ἡμᾶς ἔνθεν ὀνεῖσθαι καί τισι στηριζόμενοι πρόσκεισθε, προδηλότατον· ἡμῖν δὲ τῶν λεγομένων ἐπὶ συγκροτήσει· πλεῖστα τῶν θεοφορουμένων διὰ τὸ μῆκος παραδραμοῦσιν· ἓν ἐκεῖνο πρὸς ὑμᾶς τελευταῖον παραθετέον τοὺς ὕπαρξιν περὶ πλείονος ἀπαιτοῦντας, ὡς ἄλλο· παρὰ τὸ ὑπάρχον κατὰ διάνοιαν, ὅπερ ἐν δευτέρῳ τῶν πρὸς Ἑρμείαν ὁ προσεχῶς καὶ πολλάκις διαληφθεὶς ἔνθεος ἱεράρχης ἔχον οὕτως κατὰ ῥῆμα διέξεισιν. Ἅγιον δὲ πνεῦμα προσερεῖς τὸ ἐκ θεοῦ πατρὸς δι' υἱοῦ προχεόμενον φυσικῶς· καὶ καθάπερ ἐν τύπῳ τῆς ἐκ τῶν στομάτων διαπνοῆς· τὴν ἰδίαν ἡμῖν κατασημαῖνον ὕπαρξιν· οὕτω τε σαφῆ καὶ ἀσύγχυτον τὴν τῶν τριῶν ὑποστάσεων ἐν ὑπάρξεσιν ἰδικαῖς ἰδιότητα τηρῶν, μίαν τε καὶ ὁμοούσιον τὴν ἁπάντων βασιλίδα προσκυνήσεις φύσιν. Εἰ τοίνυν ἡ τοῦ παναγίου πνεύματος ἐκπόρευσις δι' υἱοῦ, καὶ δίχα τῶν παρηγμένων τοσούτων καὶ τηλικούτων, οὐχ' ἱκανὴ παρ' ὑμῖν διαγνώμοσι, τὸν Θεοδωρήτου τῆς υἱοῦ τοῦ πνεύματος ὑπάρξεως ῥιμμὸν ἀποτρέψασθαι, καὶ τοῦ συγκαταδικασθῆναι τοῖς ἑτέροις χωρίς· ἀλλ' ἐκείνην συγχέων ὁδὶ περιτρέψειε, κἂν αὕτη περ ἡ ἐσχάτως τεθεῖσα ῥῆσις δυσωπησάτω, τἀνάπαλιν θέσθαι· μᾶλλον δὲ γενέσθω τῆς μὲν ἐκπορεύσεως δῆτα κατασκευαστική, τοῦ ῥιμμοῦ δὲ τέλεον ἀποῤῥιπτική· καὶ τὴν περιζήτητον ὑμῖν φωνήν, αὐταῖς ἔχουσα συλλαβαῖς· καὶ ταῦτα φαμὲν καθ' ὑμᾶς. Ἐπεί τοι γε καὶ ταύτης ἐκτός, οὐδεὶς τῶν εἰδότων σέβειν ἀλήθειαν, ὃς οὐ τὴν παρὰ τηλίκων διδασκάλων θεολογηθεῖσαν ἐκπόρευσιν δι' υἱοῦ, τῆς ἐκείνου προκρίνειεν ἀθετήσεως· ἀλλὰ καὶ ἐξ υἱοῦ φασιν ἐκπορεύεσθαι οἱ μεθ' ὧν ὑμεῖς τὰς καταλλαγὰς πεποιήκατε.

Nϛ'.

Καὶ πῶς ὑμῖν ἔστιν ἐπὶ τοῦτο λόγος, τοῖς κορυφαῖον ἐκεῖνον, τὸν Μουζάλωνα μείζονα τοῦ Κυπρίου πεπλουτηκόσιν; ὃς ἐν μέσοις ἐκείνοις δικαστηρίοις μαχόμενος πρὸς τὸ δι' υἱοῦ, καὶ ῥιζόθεν ταμεῖν ἐπισπεύδων, ἐπὶ μυρίων ἀνδρῶν ἀκοῆς, φθάνει βεβαιωσάμενος, ὡς εἰ τὸ δι' υἱοῦ συσταίη τὴν ὕπαρξιν ἀπαιτῶν, μηκέτι πρὸς ἄλλο τι τοῦ λοιποῦ λόγον ἔχειν, ἀλλ' ἐνταῦθα στῆναι τὰ τέλεον. Εἰ μὲν οὖν πρὸς τὸ δι' υἱοῦ καὶ ἔτι ἐνίστασθε, περιττὴ πάντως ἡ πρὸς τοῦτο προχώρησις· εἰ δ' ἐκεῖνο δεχόμενοι, τὸ τοιοῦτον ἄξιον διαμάχης νομίζετε, καὶ πρὸς ἀλλήλους ὑμεῖς πολέμιοι διαδείκνυσθε τέως, ἐπεὶ πρὸς ἀλήθειαν ἀφορᾶν δεῖ μόνην, καὶ τὰ τοῦ διαλόγου ποιεῖσθαι. Καὶ οὗ μὲν οὖν πρὸς τὴν ἐπ' αὐτῇ τῶν ἀντικειμένων ἀνάνευσιν, ἢ κατάνευσιν, ἢ διάθεσιν, οἵαν δή τινα, βραχὺς κἀνταῦθα λόγος ἀρκέσειε· καὶ οὗτος ἐγνωσμένος, ἐξ ὧν διειλήφαμεν καὶ οὗτος πατέρων θεοφθόγγων, ἱεροκηρύκων, θεοπροκρίτων μυσταγωγῶν, οἳ μηδὲν τὸ ἐξ υἱοῦ διαφέρειν τοῦ δι' υἱοῦ διετράνωσαν. Καὶ πῶς ἂν ὑμεῖς ἐξ αὐτῶν τὸ δι' υἱοῦ κατέχοντες ἐκπορεύεσθαι, καὶ σφῶν ταῖς ἐπιταγαῖς ὑπείκοντες κατὰ τὸ ἐνόν, διαφέρεσθαι πρὸς τοὺς ἐξ υἱοῦ λέγοντας τῶν δεόντων ἐλογισάμεθα. Πῶς δὲ καὶ ὑμῶν οὐ φιλαπεχθήμονος γνώμης φανεῖται· τὸ μετὰ τῶν ἄλλων πατρικῶν παραδόσεων, αἳ πρὸς τὴν τῶν ἐκκλησιῶν εἰρήνην ἡμᾶς διεγείρουσι καὶ πρὸς τὴν τῶν προθέσεων τήνδε διαπρεπῆ διδασκαλίαν ἀντικαθίστασθαι παράστασις ἡ ἐξ αὐτῆς βεβαία, σαφὴς ἡ ἀνάπτυξις, ἡ πίστωσις ἐναργὴς παραδείγμασιν ἐντελέσι, μαρτυρίαις ἀκραιφνεστάταις, ἐπὶ θεολογίας ἡ ἀναγόρευσις; Καὶ πῶς ὑμῖν ἀπερικάλυπτος ἀντιῤῥημοσύνη μὴ ἐπὶ θεολογίας φάσκειν καὶ διατείνεσθαι παροδικῶς, ὡς ἂν φῶμεν ὑπομνήσεως ἕνεκα.

ΝΖ'.

Καὶ εἰ παρὰ φαῦλον ὑμῖν ὁ τῶν θεηγορικῶν χρήσεων τοσοῦτος ἑσμός, αἳ τὸ τῆς ΕΚ πρὸς τὴν ΔΙΑ διδάσκουσιν ἰσοδύναμον, ἐχέτω τὸ ἀξιοπαράδεκτον ἡ καλουμένη βίβλος ἱερὰ ὁπλοθήκη καὶ αὖ ἀναγκαίως ἐπὶ τοῦ μέσου παραγομένη, περιώνυμος ἥδε· καὶ πολὺ τὸ δίκαιον ὑμῖν αὐχοῦσα κυδαίνεσθαι, διαῤῥήδην αὕτη μαρτύρεται πάντας ἁγίους ἐπὶ τοῦ υἱοῦ τὴν ΕΚ ἀντὶ τῆς ΔΙΑ ἐκλαμβάνεσθαι· καθὼς ἀνωτέρω μικρὸν δεδηλώκαμεν. Ἢ κἂν ἕνα που τῶν θεολήπτων τυχὸν ἢ καὶ δεύτερον, οὕτω διαγορεύειν ἐβεβαιοῦτο, τῶν εἰκότων οὐκ ἦν ἀντιβαίνειν σφᾶς· ἔνθα πάντας θεολογεῖν οὕτω διισχυρίζεται, τίς λόγος δικάσει, μὴ ὑπακούειν, ἀλλ' ἀντιφέρεσθαι; Εἰ δὲ καὶ τοῦτο· τίσιν ὑμῖν ἔσεῖται τὸ ἐνασμενίζειν ἄρα καὶ ἐνστηρίζεσθαι, φορᾷ πλήθους ἐκ φιλαυτίας, ὡς ἔοικεν· ἀλλὰ τοῖς τῶν θεοφορήτων ἡμεῖς στειχοῦντες, καὶ τὴν δέλτον ἐν' οἷς ἑπομένην σφίσιν ὁρῶ, τὸ στέργειν αἱρούμενοι. Ως ἐν ἑτέροις, οὕτω δὴ κἂν τὸ ἐκπορεύεσθαι, τὴν ΕΚ ἐπὶ τοῦ υἱοῦ, τὴν ΔΙΑ συντρέχειν μυούμεθα, τοὺς ἐξ αὐτοῦ φάσκοντας ἐκπορεύεσθαι, διατόρως ἀκηκοότες βοῶντας, κατὰ τὰς χρήσεις ἀνακηρύττειν τοῦτο τῶν θείων πατέρων γραικῶν, καὶ κατὰ τὰς ὑφηγήσεις τῶν ταῖς ἑρμηνείαις σφῶν ἠκολουθηκότων πατέρων ῥωμαίων. Εἰ δὲ τοῦθ' οὕτω, ἐπεὶ καὶ οὕτω, τίς ἄλλη σφίσιν ὁδὸς ἐνθάδε, παρὰ τὴν ἣν οἱ πατέρες ἡμῶν ἀναγγέλλουσι· ταύτην δὴ τὴν ῥηθεῖσαν τὴν κατὰ τὴν τῶν προθέσεων ἀντιπεριχώρησιν, ἄλλως τε καὶ τῶν οὕτω φωνούντων δογματιζόντων, τὴν ἀναίτιον ἀρχὴν καὶ ῥίζαν τὴν ἐκ ἐπὶ τοῦ πατρὸς παριστάνειν. Καὶ ταύτην οὕτω τῷ υἱῷ μὴ διδόντων, φυσικῶς δὲ κατὰ τὸν Νύσσης μεσιτεύειν αὐτὸν ἐπὶ τῇ ἐκ πατρὸς ἀϊδίῳ προόδῳ τοῦ πνεύματος διαγορευόντων· καὶ κατὰ τοῦτο δι' αὐτοῦ γνωριζόντων, καὶ ἣν ἐπὶ ταύτῃ θεο-

πρεπῶς ὑπερφυῆ τάξιν διατρανούντων, κατὰ τὸν ἱεροφάντορα μέγαν Βασίλειον.

NH'.

Τοὺς κατὰ ταῦτα τοίνυν τὸ ἐξ υἱοῦ λέγοντας καὶ διασαφοῦντας, οὐκ ἔστιν ἄλλως ὅτι μὴ κατὰ τὴν διάρθρωσιν τῶν θείων διδασκάλων τὴν ΕΚ ἐκλαμβάνεσθαι, καὶ παραδείγματι παρ' αὐτῶν πιστουμένους τὴν εἰς τόδε σαφήνειαν, τῷ τοῦ ἡλίου δηλαδὴ καὶ τῆς ἀκτῖνος, καὶ τοῦ φωτός. Τοῦτο γὰρ διὰ τῆς ἀκτῖνος ἐκ τοῦ ἡλίου, καὶ καθ' ὁντιναοῦν λόγον μὴ ἔχειν ἐννοῆσαί ποτε φῶς· ὅτι μὴ διὰ τῆς ἀκτῖνος, οὐ πρὸς ἡμᾶς μόνον, ἀλλὰ καὶ πρὸς ἑαυτὰ κατ' ἐπίνοιαν, εἰ κατίδῃ τις· ἐπεί περ ἑκατέρων ἅμα πρόεισιν ἐκ τοῦ δίσκου· καὶ οὕτω μέν τοι δι' ἑτέρου τὸ ἕτερον. Ἥκιστα δ' ἄλλως τὸ σύνολον· ἐφ ᾧ καὶ τὸ διὰ τῆς ἀκτῖνος φῶς, καὶ ἐκ τῆς ἀκτῖνος ἐστί τε καὶ λέγεται, πλὴν ἐνταῦθά περ ἡ ΕΚ παρὰ τὴν ΔΙΑ, ὡς ὁμοσθενής, αὐτή τε καὶ σύνδρομος καὶ τὴν ἐκφώνησιν ἀκώλυτον ἔχουσα δι' αὐτήν, φυσικῆς παριστῶσαν μεσιτείας φανέρωσιν· ἐπὶ τοῦ δίσκου δὲ τιθεμένη, τοιουτοτρόπως ἂν οἰκεῖον ἐκφωνηθῆναί τε καὶ ληφθῆναι τὸ πρῶτον ὅσα καὶ ἀρχικὸν αἴτιον καταγγέλλουσα· καὶ παρίτω Κύριλλος πάλιν ὁ θεῖος, ἐπὶ τῆς θεολογίας τὰ τῶν οὕτω διαβεβαιουμένων ἐπικυρῶν, οἷς κἂν τοῖς πρὸς Παλλάδιον· — εἴπερ ἐστὶ τοῦ θεοῦ καὶ πατρός, καὶ μὴν καὶ τοῦ υἱοῦ φάσκει τὸ οὐσιωδῶς ἐξ ἀμφοῖν· ἤγουν, ἐκ πατρὸς δι' υἱοῦ προχεόμενον πνεῦμα. Καὶ τὸ ἀξιόπιστον ἐχέτω καὶ παρ' ὑμῖν κἂν εἰ μηδεὶς ἕτερος ἦν τῶν θεοειδῶν οὕτω παραδιδοὺς καὶ φθεγγόμενος·

NΘ'.

Ἀλλὰ τοὺς ἄλλους ὡς παραδράμω· πῶς οὐ σχοίη πρὸς τῷ ῥηθέντι τὸ εὐπαράδεκτον, καὶ ὁ τοῖς ἐνθέοις ἔργοις φερώνυμος Μάξιμος, αὐτὸ τοῦτο λέγων καὶ συνιστῶν τὸ νῦν προκείμενον ὡς ζητούμενον· οἷς τῶν τοῦ πάπα συνοδικῶν, ἐν ἐπιστολῇ τῇ πρὸς Μαρῖνον Κύπρου πρεσβύτερον ὑπερηγορῶν· ἐκπορεύεσθαι τίθησιν ὡς ἐκ τῶν Ῥωμαίων κἀκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον· καὶ ἀντὶ τοῦ δι' υἱοῦ διερμηνεύει σαφέστατα, τὸ τῆς ΕΚ καὶ αὐτὸς διδάσκων πρὸς τὴν ΔΙΑ ταυτοδύναμον. Ἐπάγει γάρ· — ἀλλ' ἵνα τὸ δι' αὐτοῦ προϊέναι δηλώσωσι, καὶ ταύτῃ τὸ συναφὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον παραστήσωσιν· — ἔνθα καὶ τὸ ἀδιάφορον ἀμφοῖν ἐπὶ σημασίᾳ δεικνύων τὸ προϊέναι λαμβάνει καθαρωτάτως ἀντὶ τοῦ ἐκπορεύεσθαι· προσάψαι γὰρ οὐχὶ καὶ τῷ μεγάλῳ τὰ τῆς ὁμωνυμίας προθυμηθείητε· μὴ θέλειν αὐτὸν εὑρεσιλογοῦντας ῥῆμα τὸ τοιοῦτον ἐπὶ τοῦ υἱοῦ φωνεῖσθαι, καὶ διὰ τοῦτο μεταθεῖναι πρὸς ἕτερον. Εἴπερ οὗτος κατὰ στόμα προσυπαντᾷ· ἐν οἷς βοᾷ διαῤῥήδην· — τὸ πνεῦμα τὸ ἅγιον, ὅπερ φύσει κατ' οὐσίαν ὑπάρχει τοῦ θεοῦ καὶ πατρός, οὕτω καὶ τοῦ υἱοῦ κατ' οὐσίαν ἐστίν, ὡς ἐκ τοῦ πατρὸς οὐσιωδῶς δι' υἱοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον. — Ὅτι δὲ πρὸς τῇ ἐντεῦθεν ἀποφάνσει τοῦ μηδὲν διαφέρειν τὸ ἐξ υἱοῦ ἐκπορεύεσθαι, πρὸς τὸ δι' υἱοῦ ἐκπορεύεσθαι· καὶ τὸ ταὐτὸν ἀποφανθὲν ἐστι ῥηματικαῖς φωναῖς ἑκατέραις κατὰ διάνοιαν Ὁ αὐτὸς ἔτι γε μὴν θείοις πατὴρ καὶ ἐν ἑτέρᾳ τῶν ὁμοίων ῥήσει παρίστησιν, ὅπου πρὸς ἀνόμιον τοῦτ' ἐστι ἀρειανιστὴν διάλεξιν ὀρθοδόξου ποιούμενος διαφοράν, ὡς ἐκ τούτου, πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, μὴ εἶναι φησὶν ἐν τῇ φύσει, μήτ' ἐν τῷ θελήματι, ἐν δὲ τὸ γεννᾶν καὶ τὸ γεννᾶσθαι, καὶ ἐκπέμπειν καὶ ἐκπορεύεσθαι· χρῆσις γὰρ τοῦδε τῶν ἐνεργητικῶν μὴ εὑρισκομένη, τὸ ἐκπέμπειν ἀριδήλως προφέρει.

Ξ'.

Ὁ δέ γε κατ' ἐξοχὴν κλήσεως θεολόγος Γρηγόριος, ἐν οἷς ἡ ἐκπόρευσις ἁρμοζόντως, ὃ δὴ καὶ ἐν χρήσει, γράφει διαγορεύων· — ἴδιον μὲν πατρὸς ἡ ἀγεννησία, υἱοῦ δὲ ἡ γέννησις, πνεύματος δὲ ἡ ἔκπεμψις. — Τί δὲ Κύριλλος ὁ θεσπέσιος· οὐ τοῦτ' αὐτὸ διατόρως ἀνακηρύττει ῥήμασι τοῖς ἰσοσθενέσι, πρὸς Ἑρμείαν, οὕτω περὶ

τοῦ κυρίου θεολογῶν· - Ἆρά σοι σαφὲς τὸ πάροιμόν ἐστι λόγιον καὶ προσδέδορκας, ὅτι πνεῦμα μὲν ἀληθείας ὠνόμασε τὸν παράκλητον· ἔφη γε μὴν ὡς πρόεισιν ἐκ πατρὸς, ἴδια πάντα δεικνὺς ἑαυτοῦ τὰ τοῦ πατρός. - Καὶ πάλιν πρὸς τὸν αὐτόν· - Συνίης οὖν ὅπως, ὡς ἴδιον ἡμῖν καταπέμψειν ἐπαγγέλλεται τὸ ἐκ τοῦ πατρὸς, καὶ πνεῦμα μὲν ἀληθείας ἀποκαλεῖ· προχεῖσθαι γε μὴν ἐξ αὐτοῦ διωρίσατο τοῦ πατρός· - Τίς ἀντερεῖ τοίνυν, εἰ καθάπερ ἐν οἷς ὁ θεάνθρωπος λόγος περὶ τοῦ ἁγίου πνεύματος εἴρηκεν, ἐν εὐαγγελίοις, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, τούτοις ὁ θεόπνους οὗτος ἱεροκήρυξ, ὡς τὸ πνεῦμα πρόεισιν ἐκ πατρὸς αὐτὸν εἰπεῖν τὸν σωτῆρα μαρτύρεται, καὶ αὖ τοῖς αὐτοῖς οἷς ἐκπορεύεται, ὡς ἐξ αὐτοῦ προχεῖται, διορίσασθαι τοῦ πατρός. Κἀντεῦθεν τῶνδε τῶν λέξεων ἀναμφιλέκτως πρὸς τὸ ἐκπορεύεσθαι τὸ ταυτοδύναμον παριστᾷ, καὶ μὴ τοῦτο δυναμένους ὑμᾶς ἀπαρνήσασθαι· πειρωμένους δὲ μᾶλλον ἄλλως ἐπὶ τοῦ υἱοῦ νοεῖσθαι διαγορεύειν, πρὸς τὸ μηδένα τὸ παράπαν ἔχειν τῶν θεηγόρων, τοῖς καινοῖς τοῖσδε προσδιορισμοῖς συμβαλλόμενον. Καὶ περιφανῶς ὁ μέγας οὗτος ἀποῤῥαπίζει· τούτῳ δὴ τῷ θείῳ πνεύματι προορῶν· ὡς ὑμεῖς ἄλλως ἐν τῷ προχεῖται παρὰ υἱοῦ, καθάπερ αὐτὸς ἀμέλει καὶ παρὰ τοῦ πατρὸς, κἀπὶ τοῦδ' ἐστίν ὡς φθάσας ἔφην ὁμοίως· καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ θεοῦ καὶ πατρὸς, διαπρυσίως ἀποφαινόμενος.

ΞΑ'.

Πῶς οὐκ ἂν ἡμᾶς σκιρτᾶν εἴη καὶ χαίρειν χαρὰν ὑφ' ἡδονῆς ἀνεκλάλητον, τοιούτοις ἀναντιῤῥήτοις πατρικοῖς θεσπίσμασιν ἐνοπτριζομένους ἐπὶ τῇ τῶν ἐκκλησιῶν εἰρήνῃ, τοσούτοις προσπαλαίειν ἐξ αὐτῆς ἀκμῆς νεοτησίας, ἤδη καταγεγηρακότας ἐξορίαις ἀπηνέσι καὶ φυλακαῖς, ἐξουθενισμοῖς, καὶ λοιδορίαις, νόσοις ἀλλεπαλλήλως καὶ λοιπαῖς ταλαιπωρίαις, ἃς οἶδε μόνος ὁ πάντ' εἰδὼς καὶ τὸν ὀκτωκαιδέκατον ἀπάρτι χρόνον ὑπερελαύνοντας. Καί τοι φανερῶς οἱ πατέρες, οἱ μετὰ θεοῦ πατέρες, οἱ κοινοὶ προστάται καὶ ἀντιλήπτορες, οὐκ ἐν οὕτῳ προδήλοις, ὡς αὕτη, κατὰ καιροὺς ἀνακυψάσαις ὑποθέσεσιν· ἀλλ' ἐχούσαις τι καὶ ἀδηλίας ὅσον ἐν φαινομένοις, τὰ τῆς καταλλαγῆς ἐν ὁμονοίας συνδέσμῳ, καὶ δράσαντες λόγοις οἰκονομίας καὶ προτρεψάμενοι, παραδείγματα ταῦτα καὶ κανόνας, πρὸς τὸν ὅμοιον, εἰ δεήσει, διεγείροντα ζῆλον ὑμῖν τοῖς ὀψιγόνοις κατελελοίπασι. Καὶ σκεπτέον εἰ μὴ οὕτως ἔχον ἐστὶν - ὅπερ ὁ τῆς ἀθανασίας ἐπώνυμος, ὁ τῶν ὀρθῶν δογμάτων τῆς ἐκκλησίας στύλος ἀκλόνητος, ἀγακλεῶς ἐν αὐτοῖς ἔθνεσι, περὶ ὧν ὁ λόγος, καὶ ἀξιεπαίνως εἰργάσατο· τῶν μὲν μίαν ὑπόστασιν τῷ στενῷ τῆς γλώττης λεγόντων, τῶν δὲ τρεῖς ὑποστάσεις, καὶ ἀντεγκαλούντων ἀλλήλοις ἐπὶ σαβελλισμῷ καὶ ἀρειανισμῷ, τὸν νοῦν ἀναλεξάμενος ἀμφοτέρων, καὶ τῷ συμφώνῳ τῆς ἐννοίας συνδήσας ἑκατέρους εἰς ἕν, παριδὼν τὸ διαλλάττον τῶν λέξεων, καθὼς ἐκ τοῦ πρὸς Ἀντιοχεῖς ἐκτεθέντος τόμου τοῦ μάκαρος, ἔξεστιν εἰς πλάτος καταμαθεῖν τὸν βουλόμενον.

ΞΒ'.

Πόσον οὖν ἦπερ ἐκ τούτων ἐκείνῳ τηνικαῦτα παρῆν· τὸ πρόχειρον ἡμῖν εἰς συμβάσεις, ἐκ τῶν προσεχῶν δὴ μόνων τοῦ θεοσόφου Κυρίλλου τῷ καταφανεῖ λίαν, καὶ μηδὲ σκιὰν διδόντι προφάσεως. Ἀλλὰ καὶ Μάξιμος ὁ θαυμαστὸς τὸν ζῆλον καὶ τὴν σοφίαν, φωνὰς μὲν πολλάκις τοὺς θεοφόρους πατέρας παραχωρεῖν διαβεβαιούμενος, - ἐννοίας δὲ οὐδαμῶς· καὶ καθεξῆς ὡς ἀνωτέρω που παρεθήκαμεν τῆς διαμαρτυρίας ταύτης ἐνθάδε πλεὸν ἐκφαίνει, λέξεσιν ἐπ' αὐταῖς οὐ σημασίαις μόναις, τὸ ῥωμαίοις διαγγελλόμενον ἀναδεχόμενος ἐμφανῶς· καὶ τὸ ἐξ υἱοῦ τρανῶς ἀντὶ τοῦ, δι' υἱοῦ φάσκων. Ὃ καὶ αὐτὸ παρὰ τοῦδε καὶ λοιπῶν ἱεροκηρύκων παραδεδομένον ἐστὶν ἐπὶ λέξεως, δοκῶ μοι μᾶλλον ἁρμοδίως ἔχειν ἐνταῦθα λόγοις, ὅσον ἐκφάνσεως πρὸς ἡμᾶς.

ΞΓ΄.

Ἐπεί τοι γε τὰ τῶν θεοπροκρίτων διδασκάλων πρὸς ἑαυτὰ τὸ ἀπαράλλακτον ἐπιφέρονται κατὰ πᾶν, τὸ ταῖς τοιαύταις εἰσηγήσεσι ληφθὲν τῷ ἱερομάρτυρι Διονυσίῳ παράδειγμα· ἐν οἷς – ἄλογον καὶ σκαιὸν – πάνυ ἀποκαλῶν, τὸ μὴ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσιν καὶ τοῦτο μὴ τῶν τὰ θεῖα νοεῖν ἐθελόντων ἴδιον εἶναι· ἀλλὰ τῶν ἤχους ψιλοὺς ταῖς ἀκοαῖς εἰσδεχομένων· ἐπάγει λέγων· ὥσπερ οὐκ ἐξὸν τὸ τέσσαρα ἀριθμὸν διὰ τοῦ δὶς δύο σημαίνειν· ἢ τὸ εὐθύγραμμα διὰ τῶν ὀρθογράμμων, ἢ τὴν μητρίδα διὰ τῆς πατρίδος, ἢ ἕτερόν τινων πολλοῖς μέρεσι τοῦ λόγου ταὐτὸ σημαινόντων. Ὃ καὶ ὁ θεολόγος Γρηγόριος ἐν τῷ περὶ τοῦ πνεύματος λόγῳ πρὸς τὰ ἐναντίον οὕτω μεθοδεύων φησίν· – Εἰ δέ σου τὰ δὶς πέντε λέγοντος, ἢ τὰ δὶς ἑπτά, τὰ δέκα συνῆγον, ἢ τὰ τεσσαρεσκαίδεκα ἐκ τῶν λεγομένων· ἆρα ἂν σοι ληρεῖν ἐνομίσθην; καὶ πῶς, τὰ σὰ λέγων· ἢ γὰρ οὐχὶ καὶ ἢ ἡμῖν ἐναργῶς ταῦτα; Πρῶτον μὲν ἐν ἐκείνοις, οἷς ἐκπόρευσιν δι' υἱοῦ ἀνομολογοῦντες, ὡς δι' υἱοῦ συνάγουσιν ἐκ ταύτης ὕπαρξιν ἐπιτίθεσθε· ἢ γὰρ οὐχ ἁρμόττον πῶς φάσκειν, φωνοῦσι σαφῶς τὰ ἡμέτερα. Μᾶλλον μὲν οὖν οὐχὶ διαυγῶς ἐντεῦθεν τὴν ἀτελεύτητον αὐτοὶ καταδίκην καθ' ἡμῶν ἐπηγάγετε, δι' υἱοῦ ἐκπόρευσιν καταγγέλλοντες, κἂν τῇ ἀνομογραφίᾳ πλήρει τομογραφίᾳ, τὴν δι' υἱοῦ ὕπαρξιν ἀτελεύτητα κατακρίναντες; δεύτερον δὲ οἷς ἡμῖν κατέχουσι σταθηρῶς τὸ δι' υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι καὶ μετὰ τῶν ἐξ υἱοῦ ἐκπορεύεσθαι κηρυττόντων, τὴν εἰρήνην τῆς ἔχθρας ἀνθελομένοις· ὅπως ἀπαιτοῦντες ἐνάλλεσθε, ἢ γὰρ οὐ κατάλληλον αὖθις, πῶς ἀντεπάγειν διὰ τῶν τοῦ θειοτάτου Μαξίμου φθεγγομένοις, ὅπερ ἡμεῖς αἰτεῖσθε, καὶ συλλαβαῖς αὐταῖς καὶ νοήμασι; καὶ τρίτον, οἷς ἐξ υἱοῦ προχεῖσθαι καὶ προϊέναι τρανοῦσι, καὶ μετὰ τῶν ἐξ υἱοῦ πρεσβευόντων ἐκπορεύεσθαι πρὸς ἑνωτικὴν μοῖραν ἡμῖν συνελθοῦσιν, ἰταμῶς ἄγαν ἐπίκεισθε;

ΞΔ΄.

Ἢ γὰρ οὐχὶ κἀνταῦθα, πῶς ἀντεπιφέρειν ἀνῆκον, σφοδρῶς ὅπερ ὑμεῖς ἐπὶ ζητήσει βοᾶτε· διὰ τῶν τοῦ θεαυγοῦς Κυρίλλου δείκνυσι παριστώντων, ὡς προχεῖται φάναι τὸν σωτῆρα, καὶ προεῖσιν· οἷς εἴρηκεν ἐκπορεύεται; μενοῦνγε πάντῃ καταφανέστατα· πάρεστιν οὐκοῦν ἐντεῦθεν ὑμῖν εἰδέναι λίαν ἀναμφιλέκτως, καὶ παντὶ προαιρουμένῳ γνῶναι τὸ ἀληθές, ὡς τὰ σύνεγγυς ταῦτα δὴ μόνα τῶν θεοπροβλήτων ἀμφοτέρων μυσταγωγῶν, ἀρκεῖν εἰς σύστασιν ἐντελῆ τῆς τῶν ἐκκλησιῶν ὁμονοίας καὶ συναφείας, καὶ δίχα τῶν διειλημμένων πατρικῶν θεοκροτήτων, ἐπὶ διαλαλιαῖς οἰκονομικαῖς τε καὶ πράξεσι παραινέσεων· καὶ ταύτας ἐκείνων χωρὶς ὁποτέρωσε βουλητόν, ἐπ' ἐνίαις τῶν μυρίων ἐν γραφαῖς φερομένων χρήσεων θεολογικῶν. Αὐταῖς φημι ταῖς δοκούσαις μὴ λαμπρὰν πλουτεῖν τὴν φανέρωσιν, ἱκανὰς τυγχάνειν ἀποτρέψασθαι πάμπαν, τὰ τῆς κακῶς παρεισφθαρείσης διχονοίας καὶ διαστάσεως.

ΞΕ΄.

Ἀλλὰ τούτων ἀποστάντες ὑμεῖς, ὡς μὴ κατ' ἀρέσκειαν προβαινόντων, ἐμβριθῶς ἐρωτήσετε λίαν· – πρὸς ταῦτα καὶ τὸν αὐτοκράτορα διηρεθηκότες· – τινὰ τὸν ἐν Νικαίᾳ τῆς Βιθυνίας ἐν πατριάρχαις διαπρέψαντα λογιζόμεθα Γερμανόν, καὶ ἡμῶν ὡς πρὸς τὸ ἀναγκαῖον τῆς διαλέξεως ἀπευθυνομένων, ὅπερ ἐν δόγμασι μετ' ἐπιεικείας ἀποκριναμένων, ὡς ἕνα τῶν ἀγαθῶν ἀνδρῶν καὶ ποιμένων καὶ σεμνῇ πολιτείᾳ καὶ λόγῳ βεβιωκότων. Οὐ μὴν ὡσεί τινα τῶν ἐν ταῖς οἰκουμενικαῖς ἁγίαις συνόδοις διαλαμψάντων, καὶ πᾶσαν αἵρεσιν κατὰ καιροὺς ἀναφυεῖσαν καταβαλόντων, καὶ τὸν ὀρθὸν κινδυνεύοντα λόγον τῆς πίστεως κρατυνάντων, ὧν καὶ ταῖς περὶ θεοῦ

διδασκαλίαις ἡ καθολικὴ ἐκκλησία καθαπερεί τισι κοιναῖς ἐννοίαις καὶ θέσεσι καὶ κανόσι, καὶ ἀξιώμασιν ἐνστηρίζεται· Ἀθανάσιον δή φημι τὸν πολύαθλον, καὶ τὸν μέγαν Βασίλειον καὶ Κύριλλον τὸν θεσπέσιον καὶ τοὺς κατ' αὐτοὺς ἐπιλοίπους τῆς εὐσεβείας ἐκφάντορας.

Ξϛ'.

Τούτους ὁλοσχερῶς παραδραμόντες ἐπεικείσεσθε μᾶλλον λεπταῖς μεθόδοις καὶ ἐπινοίαις ἐναντιουμένους πρὸς ἐκεῖνον ἡμᾶς ἀποφῆναι λογικῶς καὶ τόνδε μαχησάμενον πρὸς ῥωμαίους. Κἀντεῦθεν πλήθη καὶ δήμους καθ' ἡμῶν πάλιν ἀνάψαι, σπουδὴν ποιήσετε πλείστην, τοῖς συνήθεσι τούτοις, ὡς στεῤῥαῖς ἄλλαις ἀποδείξεσιν ἑδραζόμενοι. Καίπερ τὸν ἐν ἐπηκόῳ πανδήμῳ διάλογον, ὡς τὰ τῆς ἀπειλῆς πρὶν ὑπῆρχεν, ἀπαραιτήτως ἐκκλίνοντες· ἄλλως δὲ μηχανώμενοι δήλους ἡμᾶς ἐκ τῶν ἐν παραβύστῳ κατὰ τὸ βουλητὸν ὑμῖν κεκινημένων γενέσθαι, πρὸς τοὺς ἐν καιρῷ τοῦ σχίσματος· τὰ τούτου κρατύνοντας ἀντιδιατίθεσθαι καὶ πραγματικῶς ἔνθεν τὰ τῆς διαστάσεως ἔχειν δεόντως· ἡμᾶς δὲ κοινὸν μῖσος καὶ βδέλυγμα παριστάνοντες. Ἐπεὶ εἰς τὴν ἀπὸ τοῦ χρόνου κραταίωσιν κατηντήκειτε, κἀκ τοῦδε τῆς καθ' ἡμῶν ἀκρατοῦς ὑμετέρας ὁρμῆς καὶ τῆς ὅλης ἀγωνίας πραγματικὴν εἵλεσθε ποιήσασθαι τὴν βεβαίωσιν, ἀναγκαῖον ἄνωθεν, ὡς παρηκολουθήκει, τὰ τῆς ὑποθέσεως κατ' ἐπιτομὴν ὡς οἷόν τε παραθεῖναι κἀνταῦθα καὶ τὴν ἐκεῖθεν ὑμῖν ἰσχύν, ὁπόση εἴη, παραστῆσαι καὶ πέρας ὁποῖοί τινες καὶ πρὸς αὐτοὺς τοὺς ἐν τοῖς ῥωμαίοις λογοειδῶς ἀντικαταστάντας, οἷς ἐναβρύνεσθε καθ' ἡμῶν· ἐνοπτρίζεσθε τοῦ ῥήγματος χρόνοις.

ΞΖ'.

Πρώτη μὲν οὖν διαφορά τις ἐπὶ τῷ λόγῳ τοῦ δόγματος εὑρίσκεται· τῶν ἐνθάδε πρὸς τοὺς τῆς πρεσβυτέρας Ῥώμης, ἐν ταῖς ἡμέραις Μαξίμου τοῦ οὐρανόφρονος, καὶ αὐτὴ τὴν αἰτίαν σχοῦσα τῆς ἀφορμῆς, παρὰ τὸ τοὺς ἐνταυθοῖ, καὶ τοὺς τῆς ἑῴας πάντας ἐπὶ τῇ τῶν μονοθελητῶν αἱρέσει παρὰ τοῦ Πάπα διενοχλεῖσθαι μέχρι τῶν αὐτοῦ συνοδικῶν ἐπιλαβέσθαι· καὶ μὴ περαιτέρω προβῆναι φανερῶς καθορᾶται, καθὼς ὁ βουλόμενος ἠκριβωμένως διελθεῖν τὰ τῆς, ἧς προεμνήσθημεν, πρὸς Μαρῖνον ἐπιστολῆς τούτου δὴ τοῦ θείου πατρὸς, εἴσεται καθαρῶς· ἐκείνοις μὲν τῆς παρὰ τῶνδε μαρτυρουμένοις ἐγκλήσεως τὸ οὐκ εὔλογον, τούτοις δὲ τῆς παρ' ἐκείνων αἰτιάσεως ὄντως τὸ δίκαιον. Ἀλλ' ἐκεῖθεν ἄχρι δὴ καὶ ἐς Φώτιον, καὶ ὁ διὰ μέσου χρόνος, ἐπὶ πολὺ τῆς διακοσιοστῆς πληθὺς καθέστηκεν ὅπερ ἐκτεινόμενος, βαθεῖά τις γαλήνη καὶ νηνεμία, καὶ σύνδεσμος ὁμοφροσύνης ἀμφοῖν ἐπεκράτει ταῖν ἐκκλησίαιν· καὶ ῥοπή τις ἀντιπνοίας οὐδοπωσοῦν. Οὗτος δὲ δείκνυται πάλιν τὸ Ῥωμαίοις κηρυττόμενον κακίζων, καὶ δεινὰ κατ' ἐκείνων ἐντεῦθεν προσεπιπλέκων, καὶ τάραχον ἀνεγείρων σφοδρότατον, καὶ ἡ πρὸς τοῦτο κίνησις αὐτοῦ καὶ διέγερσις, ἐκ τοῦ τὸν μὲν Ἰγνάτιον τῶν θεοφόρων ἄνδρα καὶ θεαρέστων, ὃν καὶ τιμᾶν ἐν ἁγίοις ἡ καθ' ἡμᾶς ἐκκλησία παρέλαβεν· οὗτος δὲ συνεξεταζόμενον ἔτι τοῖς ζῶσι τὸν θρόνον ὑφείλετο Κωνσταντινουπόλεως, παρὰ τοῦ τῆς Ῥωμαϊκῆς πρωτεύοντος ἐκκλησίας ἀντιλήψεως ἐπιτυγχάνειν, καὶ βοηθείας· τοῦτον δὲ ἀπωθεῖσθαι, καὶ μὴ πειθόμενον ἀφορισμοῖς καὶ ἀναθέμασιν ὑποβάλλεσθαι. Πλὴν ἀλλ' οὐχὶ καὶ αἱ ἐπὶ τοῦδε τρικυμίαι καὶ ζάλαι καὶ θορυβώδεις ἐπαναστάσεις ἐπὶ πλεῖστον διήρκεσαν, παρ' αὐτοῦ δ' ἐσαῦθις κατεστορέθησαν τέλεον ἐν καιρῷ τῷ καθήκοντι τοῖς ἐκεῖσε δεχθέντος· κἀνταῦθα περιφανῆ τὴν θεραπείαν, τῆς κορυφωθείσης κακίας ἐργασάμενου καὶ διὰ μεγάλης καὶ σχεδὸν οἰκουμενικῆς συνόδου, τὰ τῆς προτέρας ἑνωτικῆς ζέοντως καταστάσεως βεβαιωσαμένου, καὶ πᾶν αὐτῷ λαληθὲν καὶ πραχθὲν κατὰ τῆς Ῥωμαίων ἐκκλησίας πυρὶ παραδόντος καὶ ἀναθέματι, κα-

θῶς ἀντεξέστη τῷ προειρημένῳ· τὸ μὲν τῆς ἡμεδαποῖς προτέροις ἰδεῖν λόγοις ἐγκείμενα πλατυτέρως, τὸ δὲ ταῖς ἐξ ὧν ἔσχομεν βίβλοις διεξωδικώτερον ἔτι μᾶλλον καὶ ἐντελέστερον.

ΞΗ΄.

Ἦν οὖν ἐξ ἐκείνου καὶ αὖ σύνδεσμος ὁμονοίας εἰλικρινοῦς, ἔθνεσιν ἑκατέροις, καὶ περίοδος ἐτῶν ἐν αὐτῇ παρῳχήκει, πλήρης ἐπὶ μέτροις ἑκατοντάδος εἰς ἑβδομηκοστὸν ποσουμένη τὸν ἀριθμὸν, ἕως προεδρίας τῆς τοῦ Κηρουλαρίου. Ἀφ' οὗ δὴ τὸ ἐς δεῦρο κεκρατηκὸς παρεισέδυ σχίσμα τὰς αἰτίας ἔχον ἐπίπαν, ἐκ τῆς τῶν κοσμικῶν πραγμάτων συγχύσεως, ἔκ τε τῆς ἀποστασίας ἐν Σικελίᾳ τοῦ Μανιάκη, καὶ τῆς ἐντεῦθεν ἐπεισφρησάσης πρὸς τὸν πάπαν διαφορᾶς τοῦ τηνικαῦτα τῶν ἐνταῦθα κυριαρχοῦντος, ἔκ τε τῆς Ἀργύρου δῆτα τοῦ Ἰταλοῦ περιεργίας ἐπὶ τῷ σκανδάλῳ καὶ συνωθήσεως· καθὰ δὴ καὶ τὰ περὶ τούτων ἐκ τῶν ἱστορούντων τῷ μὴ παρέργως θέλοντι μετιέναι δῆλα καθίσταται. Τίς οὐκοῦν ταῦτ' εἰδὼς ὡς ἔσχε γενέσθαι; τίς ἁπλῶς ἐννοῶν, οὐχὶ παρὰ πάντα λόγον τὸν τοῦ δικαίου, ὅσον ἐν τοῖς ἐκκλησιαστικοῖς, τὰ τῆς ἔχθρας διαγνοίη ἂν περεισφθαρῆναι καὶ διαστάσεως; ἐξ αὐτῶν ἄρα τῶν χρόνων, ἐξ αὐτῆς τῆς τῶν πραγμάτων ἀκολουθίας, ἐξ αὐτῆς τῆς σφῶν παραστάσεως, τετρακοσίων ἐνιαυτῶν, παρολίγον, ἢ μηδὲ τοῦτο σύμπαν ὑπάρχει διάστημα τὸ παραῤῥυὲν ἀπὸ τῆς τοῦ Κώνσταντος βασιλείας ἐκγόνου κρατάνακτος Ἡρακλείου, καθ' ἣν ἀκμάζων ὁ μέγας ἐτύγχανε Μάξιμος καὶ τοὺς ὑπὲρ εὐσεβείας ἀθλεύων ἀγῶνας, ὃ τὸ Ῥωμαίοις, ὡς ἔχει λεγόμενον φανερῶς ἀναγγέλλων καὶ ὑπερηγορῶν, ἄχρις αὐτοκρατορίας τοῦ Μονομάχου.

ΞΘ΄.

Ἐφ' ἧς αὐτῆς περ ἡ μεμενηκυῖα ῥῆξις εἴληφε τὰς ἀρχάς. Καὶ τίς τοὺς ἐργάτας αὐτῆς φήσειε καλῶς δεδρακέναι, δευτέρους ἡγησάμενος. Ἵν' εὐφήμως ἐρῶ, τόν τε ῥηθέντα τῆς ὀρθοδοξίας πάμμεγαν ὁμολογητὴν καὶ τοὺς ἐξ ἐκείνου διὰ μέσου κατ' αὐτὸν ἑτέρους. ἀλλὰ δὴ καὶ τοὺς τῶν διττῶν ἁγίων οἰκουμενικῶν συνόδων πείους πατέρας· τῆς ἕκτης δή φημι καὶ ἑβδόμης τοῖς μετὰ τῆς Ῥωμαϊκῆς ἐκκλησίας ἐκ πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι πρεσβευούσης, ὡς μεμαρτύρηται, ὅροις τῆς ἑνώσεως προσανέχοντας· καὶ δίχα τοῦ νῷ λαβεῖν ὡς τὸ τῶν σκανδάλων ἅπαν, ἐκ κοσμικῶν πραγμάτων παρεισήχθη περιπετείας. Καὶ ὡς πρὸς τοῦτ' ἐπέδραμε Κηρουλάριος ἔρωτι τοῦ κατ' ἐξοχὴν τῆς ἐκκλησίας ἑαυτῷ τὸ πρωτεῖον περιποιήσασθαι, καὶ τοῦ τοῖς ἐρυθροβαφέσι πεδίλοις ἐγκαλλωπίσασθαι, φενακισθεὶς ὑποσχέσεσιν, ὧν καὶ παρὰ τοσοῦτον ἀπήλαυσεν, ὡς ἐπιχειρῆσαι μόνον καὶ παρ' αὐτὰ συναπολαβέσθαι σφίσι· καὶ ὅπερ ἐκέκτητο τῆς καθέδρας ἀπελαθείς· ποῦ δὲ καὶ χώραν ἕξει τοῦ λογισθῆναι δεόντως ἔχειν, τῆς ἔχθρας οὕτως ἐπεισπεσούσης, ἅπερ οἱ καθεξῆς κατὰ τοῦ Ῥωμαϊκοῦ θρόνου λογογραφικαῖς ἰδέαις συνέθεντο· τὰς ἀρχὰς ἐξ ὧν ἐπέπλεξε Φώτιος, ἀριδήλως ἀναλεξάμενοι, παλινῳδίαν οὕτως ᾆσαι τὸ παράπαν εἰ μὴ εὑρίσκετο; τὸ δεκτὸν οὐδ' οὕτως ἂν κεκτῆσθαι τὰ τοῦδε, λόγοις ἀῤῥεποῦς διαγνώσεως ἐνομίζετο τοῖς, ὡς ἀμυδρῶς ἐνεχαράχθη, τὰ τοῦ μάκαρος εἰδόσι Μαξίμου, καὶ τοὺς ἐξ ἐκείνου θείων διὰ μέσων συνόδων μέχρις αὐτοῦ Φωτίου, τῷ τῆς ἐκκλησίας στερεώματι διαλάμψαντας.

Ο΄.

Ὅταν δὲ πρὸς τῷ τοιούτως ἔχειν, καὶ αὐτὸς ὁ τούτων γεννήτωρ, τρόπον ὃν εἰρήκειμεν, ἀκυρώσας γνωρίζηται, διὰ συνελεύσεως αὐτόχρημα παγκοσμίου τῶν συνεισδραμόντων ἀρχιερέων, ὅλας τρεῖς ἑκατοντάδας ἀπαρτιζόντων, πρὸς τῷ ὀγδοηκοστῷ καὶ ἑνὶ, καὶ τὴν τῆς προτέρας ὁμοφροσύνης ἀνανεώσας εὐστάθειαν, ἣν ἀνατρέπει

πάλιν αἰτίαις ταῖς σημανθείσαις ὁ Κηρουλάριος, διὰ μόνης ἐγγράφου βασιλέως τῆς τοῦ Μονομάχου κελεύσεως καὶ παρουσίας ἐπισκόπων, μηδ' αὐτὸν ἀριθμὸν συμπεραινόντων τὸν δέκατον. Πῶς οἱ τούτοις ἐνστηριζόμενοι, κἀκεῖνα τοιουτωδῶς ἔχοντα, ταῖς κατὰ Ῥωμαίων οἰκείαις, ἀντιθέσεσι προβαλλόμενοι, οὐχὶ λίαν ἀναμφιλέκτως, ἐξ αὐτῆς ἀκολουθίας τῆς τῶν πραγμάτων, τὸ ἀπαράδεκτον τοῖς σφετέροις ἐπιμαρτύρονται;

ΟΑ΄.

Ἡνίκα δὲ καὶ τούτων οὕτως ἐχόντων, σύμφωνοι καὶ πρὸς σφᾶς ὑμεῖς οὐδαμῶς, ἀλλ' ἀντίθροοι καὶ ἀσύμβατοι, τίσιν ὁμονοοῦντες ὀφθήσεσθε, μικρὸν ἀρθήσης τῆς ἑνὸς σκεδασθείσης ἀχλύος, κἄποθεν ἀπροσδοκήτως διαυγασάσης βασάνου, καὶ ἰθυτενοῦς ἐξετάσεως, πάντας ὑμᾶς, οἶμαι, συνθέσθαι τῶν, ἀφ' οὗ τὸ κρατῆσαν παρεισεῤῥύη σχίσμα, λογικῶν ἐξυφανθεισῶν ἀντικαταστάσεων ἐπὶ συγκροτήσει τοῦδε, τὴν τῆς καλουμένης ἱερᾶς ὁπλοθήκης, ὀνομαστοτέραν γινώσκεσθαι καθ' ὑπεροχήν· ἵνα ταύτης, τῆς ἀνάγκης ἀπαιτούσης, ὡς τοιαύτην καὶ πάλιν μνησθῶ καὶ δεῖν πάντως καὶ ὑμᾶς κατεξαίρετον ταύτῃ τῶν ἄλλων ὁμοπνόους καθεστάναι καὶ σύμφρονας. Ἴδωμεν οὖν· αὕτη τὸ δι' υἱοῦ μεγαληγόρως ἀνακηρύττει, ὡς πατέρες παρέδοσαν· αὕτη τὴν δι' υἱοῦ ἐκπόρευσιν οὔτ' εἰς ὁμωνυμίαν ἀπάγει, καὶ τὴν δι' υἱοῦ ὕπαρξιν κατ' ἔπος ἀναγορεύει τρανώτατα. Ὑμέτερον ἐν τῇ τομογραφίᾳ, εἰ καὶ διὰ τοῦ υἱοῦ παρά τισιν τῶν ἁγίων ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον εἴρηται, τὴν εἰς ἀΐδιον ἔκφανσιν ἡ λέξις ἐνταῦθα, οὐ τὴν εἰς τὸ εἶναι καθαρῶς σημαίνειν βούλεται πρόοδον· καὶ αὖθις ἐν ἑτέροις· οὐμὴν ὅτι ἡ ὕπαρξις τῷ παναγίῳ πνεύματι δι' υἱοῦ· ἐκείνη τὸ ἔστι καὶ τὸ ὑπάρχει· τὸ πεφηνέναι τε, καὶ τὴν πρόχυσιν ἐπί τε πατρὸς καὶ υἱοῦ, τὴν ἀΐδιον ὕπαρξιν προδιήγγελται, παριστάνειν σαφῶς ἐκλαμβάνεται.

ΟΒ΄.

Ὑμέτερον, τὸ σὺν τῇ ἐκπορεύσει καὶ τὰς φωνὰς ταύτας ἀπερικαλύπτως ὁμωνυμεῖν· βοήσεις ὑμῶν, ὡς ἐάσαιμι τἄλλα, νομοθετῶν ἀμφοτέρων ἐν ὑπηκόῳ πεπαῤῥησιασμέναι Κυπρίου τε καὶ Μουζάλωνος, τοῦ μὲν τὸ δι' υἱοῦ, χεῖρον εἶναι τοῦ ἐξ υἱοῦ, τοῦδε, ὡς ἡ δι' υἱοῦ ὕπαρξις εἰ συσταίη, τὸ πᾶν εὖ ἔχειν ἀπηρτίσθαι τῆς ὑποθέσεως, εἰδ' οὖν ὁλοσχερῶς τὰ κατ' αὐτὴν ἀνατέτραπται. Εἰ γοῦν ἐπὶ τούτοις ὡς θεμελίοις, ἡ καθ' ἡμῶν ἐκκήρυξις γέγονεν, ἡ ῥηθεῖσα δὲ βίβλος ὡς ἐκ προσώπου τοῦ μεγαλωνύμου βασιλέως Μανουὴλ ἐσχεδίασται, σύνετε μόλις ἐπιστατικοῖς ὀφθαλμοῖς ὅλῃ ταύτῃ διόλου προσεσχηκότες, καὶ τοῖς κατ' αὐτὴν τὰ ὑμέτερα παραθέμενοι, ποῦ μοίρας παρ' ὑμῖν ὁ τοιοῦτος αὐτοκράτωρ ἐγκρίνεται. Βλέψατε γνόντες, εἰ μὴ συγκατάδικος ἡμῖν καθ' ὑμᾶς ἐντεῦθεν οὗτος καὶ συναπόβλητος, εἰ μὴ ὁ τοῖς αὐτοῦ σύμψηφος τοσοῦτος τῶν ἀρχιερέων ἑσμὸς, τῶν τε παρὰ τούτου προβεβλημένων πατριαρχῶν καὶ τῶν ὑπ' αὐτοὺς καὶ τῶν καθεξῆς μετ' ἐκείνους κατὰ διαδοχὰς ἄχρις ἡμῶν, οὕτω μετὰ τὸ ἀποφανθῆναι τοῖς τῶν θείων ἔπεσθαι διδασκάλων, σφῶν ἐκστῆναι κατεπειχθέντες, καὶ πρὸς τούσδε μετακεχωρηκέναι· προθυμίας ὁρμαῖς ἀκαθέκτοις, ὡς ἐξ αὐτῶν ἡμᾶς ἀπελέγξαι, καὶ τὸ ἐντεῦθεν κράτος ὑμῖν ἀπρόσμαχον ἀναδεῖξαι· καθαρῶς καὶ σφίσιν ὁμογνωμοῦντες δρᾶσθε καὶ συμφερόμενοι· ὡς ἑνὸς ἑκάστου πρὸς τὰ τῶν ἐκτεθέντων ἐπὶ τῇ ὑποθέσει, οὐ τοῦ διαληφθέντος σκηπτούχου μόνον, ἀλλὰ καὶ τῶν πρὸ αὐτοῦ, καὶ τῶν μετ' ἐκεῖνον, εἰ παραγυμνῶσαι πρὸς τὸ ἐντελὲς ἠβουλήθημεν, ὁπόση τις καὶ οἷα προδήλως ἡ ἀφ' ὑμῶν ἐναντίωσις, πραγματείας ἂν ἄλλης ἴδιον ἔργον ἐποιησάμεθα. Νῦν δὲ πρὸς τοῖς εἰρημένοις, τοσοῦτον, ὡς ἐν κεφαλαίῳ φαμὲν· οὐδεὶς ἐξ αὐτῶν, τῶν νεοφανῶς τι καινοφωνηθέντων, τῷ Μουζάλωνι καὶ Κυπρίῳ κατὰ τῶν κειμένων ἐπὶ θεολογίᾳ πατρικῶν ὅρων

καὶ παραδόσεων, διηγορευκὼς τὸ παράπαν, συγγράμμασι τοῖς οἰκείοις εὑρίσκεται· οὐδεὶς ἀλλοίωσιν σημασίας φωνήσας ἐπὶ τῷ, ἐκ πατρὸς δι᾽ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον· παρὰ τὸ, ἐκ Πατρὸς ἐκπορεύεται· οὐδεὶς τὸ προβολεὺς διὰ λόγου τοῦ ἐκφαντορικοῦ Πνεύματος, μὴ εἰς αἰτίας λόγον παραλαμβάνεσϑαι· οὐδεὶς τὸ διὰ τοῦ προσεχῶς μηδὲν διαφέρειν τοῦ προσεχέως· ὅπερ ὁ Νύσσης ἐπὶ διαφορᾷ τῆς τοῦ υἱοῦ καὶ Πνεύματος ἐκ πατρὸς ἀϊδίου προόδου τεϑεολόγηκεν. Οὐδεὶς ἐκ μὲν τῆς οὐσίας τῆς ἐνυποστάτου πατρὸς· ἐκ δὲ τῆς οὐσίας υἱοῦ τῆς ἐνυποστάτου τὸ Πνεῦμα τὸ Ἅγιον· ἐν οἷς ἐκ τῆς οὐσίας Πατρὸς καὶ υἱοῦ διαῤῥήδην οἱ πατέρες παραδεδώκασιν· οὐδεὶς αἴτιον υἱοῦ καὶ Πνεύματος τὸν Πατέρα τῷ λόγῳ τῆς ὑποστάσεως, οὐ τῆς φύσεως· ὃ οἶδε πᾶς ὀρϑόδοξος κατ᾽ ἀμφότερα· ὧν καὶ τοὺς ἐλέγχους σὺν σφίσιν, ἐν ἑτέροις τῶν ἡμετέρων λόγων ἐκφαντικωτέρως ὁ βεβουλημένος ἐπόψεται· οὐδεὶς τούτων οὐδέν τι τῶν ἐν τοῖς τῆς διαστάσεως πρὸ ἡμῶν χρόνοις ἀντικαταστάντων Ῥωμαίοις, γραφαῖς συνϑέμενοι ὅλως ὀπτάνεται· οἳ καὶ λόγῳ ἄλλως συγχύσεως καὶ ἀπαγωγαῖς οἴκοϑεν ταῖς εἰς ἄτοπον ἔσπευσαν ἐκείνοις ἀντεπιφύεσϑαι, τῶν καταφανῶν ἐπὶ συμβάσεσι πάντα ϑεολογικαῖς ἑκουσίως, ἢ οὐκ οἶδ᾽ ὅπως ἀποσχόμενοι χρήσεων, ἄντικρυς ἐκεῖνο ποιοῦντες· ὃ καὶ αὐτῶν ἔνιοι τῶν καϑ᾽ αἷμα προσῳκειωμένων ἔκ τινος δρᾶν εἰώϑασι διενέξεως, τῶν ἐπ᾽ ἀνϑρωπίνοις πράγμασι περιπετειῶν, ἀντεπεγειρόμενοι κατ᾽ ἀλλήλων δυσφημίαις, καὶ ταῖς ἐπὶ καταγνώσει καὶ αὐτῆς ϑρησκείας ὁλικαῖς καταῤῥήσεσι, καὶ τούτοις στοιχοῦν· εἶτα τῆς ἅμα σφίσι χριστιανικῆς μὴ ἔχοντες ἐϑίμου κοινωνίαν ἀποδιίστασϑαι· καὶ εἰ τὴν νῦν ἐνταυϑοῖ κρατοῦσαν ἐν ἀλλήλοις διαφορὰν ἐννοήσαιτό τις· οὐ τὴν ἐπὶ τῇ, περὶ ἧς ὁ λόγος, ὑποϑέσει φημί· τὴν δέ γε πρὸ αὐτῆς, ἣν ἴστε καὶ μέχρι τῆς δεῦρο προήκουσαν· ὅπως οὐκ ἀρτίως μόνον, ἀλλὰ ἀφ᾽ οὗπερ ἐπεισῆλϑε ϑάτερον ἀσεβείας παρασκευάζει τὸν ἕτερον γράφεσϑαι· καὶ λόγοις μὲν οὕτως· ἔργοις δὲ τοῦ κοινωνεῖν ἀπείργειν διεγείρει παντάπασι· καὶ ταῦτ᾽ ἐν ὁμογλώσσοις δῆτα καὶ ὁμοφύλοις. Πῶς οὐχὶ μᾶλλον ἔτι γνώσεται τὸ λεγόμενον· πῶς δὲ κἀκτούτων οὐ πίστωσιν σχοίη, μὴ ῥίζαν ἐπ᾽ εὐσεβείᾳ κεῖσϑαι κακίας εἰς ἀφορμήν· εἴ γε λόγοις μαχομένοις ἐκείνοις τοῖς τὴν διάστασιν συγκροτοῦσι, μὴ ὡς τούτοις δὴ τοῖς ἀγχοῦ ληφϑεῖσι δυνηϑείη παρεισδῦναι τὸ ἀκοινώνητον, ὁπηνίκα δὲ καί τινας ἐξ αὐτῶν, τῶν ἀδιαστάτως, ἵν᾽ οὕτως εἴπω διισταμένων, τὸν Βουλγαρίας δή φημι Θεοφύλακτον, ἄνδρα τῶν ἐπὶ σοφίᾳ κλέος ἐνεγκαμένων, κατίδη τις ἐμφανῶς· ἐν μόνῳ τῷ συμβόλῳ τὴν προσϑήκην μὴ προσιέμενον· ἐν ἄλλοις δὲ πανταχοῦ καὶ γραφαῖς ἁπάσαις, καὶ λόγων ὁμιλίαις καὶ διαλέξεσιν ἀκωλύτως διδόντα πάντῃ καὶ προτρεπόμενος; Πῶς αὐτὸν φέρειν ἴχνος ἐν ταύτῃ τι δισταγμοῦ, ῥήμασιν ὀρϑῆς δόξης ὅλως ὑποτοπάσειε, καὶ μὴ τηρήσει μόνῃ τοῦ τὸ σύμβολον ἧς ἔλαχεν ἐκϑέσεως ἔχειν ἐνίστασϑαι; ποῦ δὲ καὶ τὸ συνέρχεσϑαι πρὸς τοῦτον ὑμῖν, καὶ τοὺς κατ᾽ αὐτὸν κατ᾽ ἐκεῖνο καιροῦ, τοσούτῳ δέουσιν ἐφ᾽ ὅπερ οὗτοι προτρέπονται περιόπτως ὑφειμένον μήτοιγε προτρεπτικὸν ὁποσοῦν ἐξαγγεῖλαι· ὅσῳ καὶ συμβόλου χωρὶς ἀσεβείας ἐπέκεινα καλεῖν ἐξεῖναι καὶ πάντολμα κατ᾽ αὐτοῦ λέγειν μὴ ὑποστέλλεσϑαι· πρὸς ἡμᾶς δέ γε τὸ ϑαυμαστὸν, κἂκ τῶνδε πόση τις, ἐφ᾽ ᾗ κατεκρίϑημεν εἰρήνῃ τῇ τῶν ἐκκλησιῶν, ἡ συγκρότησις· οὓς ἐπὶ τοῦ μέσου παραγαγεῖν ἐσπουδάσατε· καϑ᾽ ἡμῶν μὲν ὡς ὁλοσχερῶς φερομένους· πρὸς ἅπαν δ᾽ ὑμῖν ὡς ὁμόφρονάς τε καὶ συλλήπτορας, ἀποστάντες ὅλῳ ῥυτῆρι τῶν πατρικῶν ϑεηγοριῶν καὶ διασαφήσεων· σύνετε τοὐντεῦϑεν ὅση τις καὶ οἵα ἡ σύναρσις, πλήρεις ὄντες συνέσεως· ἀλλ᾽ ὁ ἐν πατριάρχαις παγγέραστος φερονύμως, ὃν ἐν Νικαίᾳ τῇ τῶν Φρυγῶν, ἐργασίαις ἔφημεν ἀριστεῦσαι ποιμαντικαῖς· τούτους γὰρ ἐν μέσοις διαλόγοις ἐξ ὀνόματος παρελάβετε· ποῦ μοίρας ὑμῖν τετάξεται τῆς πραγματικῆς καϑ᾽ ἡμῶν καταπαιχϑείσης ἐπισυστάσεως,

συνοδικοῖς σημειώμασιν ἀσφαλέσι· τοὺς ἐν τῇ τῆς Κύπρου νήσῳ περιφανεῖ φυλῆς ἀπαξάπαντας ἡμετέρας, ἐντελῆ ϑέσϑαι τὴν πρὸς τὸν ἀποστολικὸν ϑρόνον τῆς πρεσβυτέρας Ῥώμης πνευματικὴν ὑποταγὴν προτρεψάμενος· καὶ τῷ ταύτης ὑπείκειν κατὰ πάντα προέδρῳ· οἷς ἀνῆκον ϑεοφιλῆ λαὸν ποιμένι καὶ διδασκάλῳ κατὰ θεὸν ὑποτάττεσϑαι, μᾶλλον δὲ ποῦ καταδίκης ὑμῖν ὁ ταῦτα ϑέμενος ἀπαχϑήσεται; ποῦ δὲ καὶ Μανουὴλ ὁ μετ᾽ ἐκεῖνον ἐν αὐτῇ πόλει τῇ τῶν Φρυγῶν τοὺς πατριαρχικοὺς οἴακας εὖ διιϑύνας; ἐπειδὴ καὶ οὗτος ἰσχυραῖς ὑπογραφαῖς ἐμπεδώσας συνάμα τῇ ὑπ᾽ αὐτὸν ἱερᾷ τῶν τότε συνειλεγμένων ἀρχιερέων ὁμηγύρει, τὴν μετὰ τῆς Ῥωμαϊκῆς καϑέδρας ἑνωτικὴν καταλλαγὴν ἐπίπαν ἐν τοῖς πνευματικοῖς ὠχυρώσατο· καὶ τὴν κωλύμην ἔσχεν ἐκ σωματικῶν τινων αἰτημάτων τοῦ τηνικαῦτα χαριτωνύμου βασιλέως· τοῦ διευϑετήσαντος τὰ τῆς πράξεως· ποῦ τιμωρίας ὑμῖν δεούσης ἡ δυὰς αὕτη τῶν πατριαρχῶν, καὶ μετὰ ϑάνατον περιστήσεται; ποῦ τῶν ὑπ᾽ αὐτοὺς ποιμένων ὅμιλος ὁ λοιπός· οἱ μὲν οὕτω παρακελευσάμενοι τοῖς ἐκτὸς ἐμφανῶς· οἱ δ᾽ ἐνταῦϑα τὰ τῆς συμβάσεως, οὐκ ἄλλως ἀπηρτικότες· ἢ ὡς γέγονεν ἐν ἡμῖν; πῶς ἀνάσχοισϑε τὰ ἐκείνων, οἱ παρὰ ταῦτα τοῖς ἄρτι καιροῖς, ἀρχιερέων ἡλίκον καὶ ὅσον στίφος, πρεσβυτέρων ὑπερεκτεινομένας πληϑῦς, διακόνων ἑσμοὺς ὅλους, ἐξοστρακισμῷ καὶ ἀφαντώσει παραπεμψάμενοι, καὶ τῶν ἀχράντων καὶ φρικωδῶν καὶ αὐταῖς ταῖς νοεραῖς οὐσίαις, ὢ τόλμης! κατορχησάμενοι; καὶ παρίημι τὰ τῆς πολυειδοῦς καϑ᾽ ἡμῶν εὐϑύνης τῶν ἐν τοῖς περὶ θεοῦ λόγοις, εἰς ἐλέγχους ὑμῖν ἀντικαταστάντων, τὰ ἐκείνων δὲ παρενείρω, τῶν ἐν τούτοις φωνησάντων οὐδεπωσοῦν; πῶς ἐνέγκοιτε τὰ ἐκείνων, ὡς ἐν αὐτοῖς ἄρα χρόνοις τοῦ σχίσματος, Λατίνοις οὐχ ὅπως τὴν εἰς πᾶν ἀνήκουσαν χριστωνύμοις κοινωνίαν ἐδίδουν· ἀλλὰ καὶ αὐτὴν ἔστεργον σφῶν μετουσίαν τὴν ἐν ἱερατείᾳ· καϑὰ παρίστησι ϑάτερος τῶν ῥηϑέντων πατριαρχῶν, ὁ δεύτερος δηλαδή, παρ᾽ ἰταλῶν τινας ἐξ ἔϑνους δῆτα τοῦ ἡμετέρου, πρεσβυτέρους τρεῖς τὸν ἀριϑμὸν χειροτονηϑέντας, καὶ τῇ Νικαέων ἐπιδεδημηκότας, μετὰ τῶν οἰκείων δεξάμενος ἱερᾶσϑαι, καὶ συνοδικὸν ἐπὶ τούτῳ γράμμα προαγαγών· ὃ καὶ πᾶσι τοῖς βουλομένοις καταφανὲς ἦν· ὥσπερ δὴ ϑεατὰ καὶ τὰ τῶν ἐφ᾽ ἑνώσεσι ταῖς διαληφϑείσαις πράξεων τε καὶ σημειώσεων εἰ μή που νῦν τῶν καϑ᾽ ἡμᾶς βυϑοῖς ἀπωλείας παραδεδώκασιν ἔνιοι· μὴ ἀγνοεῖν γὰρ ὑμᾶς οἶμαι τὰς ἐπιϑέσεις τινῶν, οὐ τῶν πρώην ἀλλὰ καὶ τῶν νῦν ἐν τῇ καταρχὰς κινήσει τῆς ὑποϑέσεως· ἐπὶ τοῖς ῥητοῖς τῶν Ἁγίων, τὰς ἀφαιρέσεις τε καὶ ξυσμάς, καὶ προσϑήκας καὶ ἀλλοιώσεις παντοδαπάς· ἀλλ᾽ ὅπερ ἔλεγον, πῶς ἂν καρτερήσητε καὶ αὐτῆς ἐκείνους ἱερωσύνης κοινωνεῖν τοῖς τοιούτοις, οἱ παρὰ μόνας εἰρήνης σπονδὰς μετὰ τῶνδε, τὴν ἐνϑάδε πᾶσαν ἱερατικὴν τάξιν ἐξαφανίσαντες, καὶ νέαν ἔνϑεσμον καὶ κανονικὴν ὄγκοϑεν συστησάμενοι; Πῶς δὲ καὶ βασιλεῖς ἐκείνους ἀνευϑύνους παρέλϑητε, Μανουὴλ φημὶ τὸν περίκλυτον αὐτονάρχην, ὃν συγκατάδικον ὑμῖν, ὡς προδέδεικται, λόγοις ἔχοντες τοῖς τοῦ δόγματος; πῶς οὐχὶ κἂν τούτοις φανεῖτε κατάκριτον· οἷς πράξεσι καὶ σημειώσεσιν εὑρεϑείσαις ἐγγράφοις, μετὰ τῶν τῆς οἰκείας κληρουχίας ἱεραρχῶν, τὰς πρὸς τὴν Ῥωμαϊκὴν καϑέδραν ἑνωτικὰς συμφωνίας ἐκύρωσε, καὶ τὸν χαριτώνυμον, οὗ δὴ προσεχῶς ἐμνήσϑημεν, στεφηφόρον, τῆς βασιλίδος ἔξω τῶν πόλεων, ἐν τοῖς τῆς ἑῴας μέρεσι διαπρέψαντα· ὧν καὶ αἱ συνϑέσεις πᾶν ἀμφίβολον ἐν τοῖς πνευματικοῖς διαλύσασαι, κοσμικαῖς περιπατείαις, καὶ σωματικῶν αἰτημάτων ἀνωμαλίαις ἀπείρχϑησαν; Πῶς παραδράμητε σφᾶς ἀϑώους, οἱ παρὰ τὰς τοιαύτας συνϑήκας, τὸν φιλόχριστον καὶ φιλευσεβῆ βασιλέα τὸν ἀγγελώνυμον, τῆς νενομισμένης ἐπὶ τελευτῇ κηδείας καὶ ψαλμῳδίας ἀνάξιον κρίναντες, καὶ κρείττονος τούτων ἄνευ, ἧπερ ἔμελλε μετὰ τῶνδε τυχεῖν τῆς παρὰ θεῷ στάσεως ἀξιώσαντες; Πῶς ἄρα τὰ σφῶν ὅλως παρίδητε, ζῆλον φέροντες ἐν καρδίᾳ πυρίπ-

νοον· καὶ παρατρέχω τῶν ἐν τοῖς καθ᾽ ἕω πατριαρχικοῖς θρόνοις ἀναφανέντων ἱερῶν ἱθυντήρων, λόγων καὶ πράξεων ἐκβάσεις, ἐπὶ καταλλαγῇ τῇ τῆς ἐκκλησίας, ἃς μὲν ἀλληλοδιαδόχως εἰς ἡμᾶς ἀφιγμένας, ἃς δὲ καὶ παρ᾽ αὐτηκόων ἀγγελθείσας, καὶ αὐτοθεαμόνων περιόπτων ἀνδρῶν· ὡσαύτως καὶ μεγάλων ἑτέρων ἀνάκτων ἐπὶ περισπερχεῖ κατεπείξει ταύτης τῆς πραγματείας γνωρίσματα, γραφαῖς ἐνσεσημασμένα, καὶ φιλαρέτων δὲ οὐκ ὀλίγων ἐνθάδε ποιμένων ἀκούσματα, τοῖς προτεθεῖσι δ᾽ ἀρκούμενος, ὡς ἐπίπαν παρίημι κατανοεῖν τοὺς τῆς ἀληθείας ἐξεταστάς, ὅσαν ὑμῖν ἐνυπάρχει· καὶ πρὸς αὐτοὺς δῆτα τοὺς ἐν τοῖς τῆς διαστάσεως πρὸ ἡμῶν χρόνοις ἐν βασιλεῦσι καὶ ἀρχιερεῦσι περιωνύμους τὸ σύνδρομον, καὶ τοῖς περισπουδάστοις πραγματικοῖς· καὶ εἰ τὸ συναίρεσθαι κἀκ τῶνδε τὸ παράπαν ἡμῖν ἐστιν, ἐφ᾽ ᾗ δὴ συνελεύσει τῶνδ᾽ ἐκκλησιῶν διετέθημεν, τοῖς ὡς ἀληθῶς δεύτερα πάνθ᾽ ἡγουμένοις, πρὸς τὸ ταῖς θεοκροτήτοις ἐπὶ ταύτῃ θεηγορίαις τῶν θεοφορήτων διδασκάλων ἑδράζεσθαι, καὶ ταῖς σφῶν ἐπ᾽ αὐταῖς θεοσόφοις οἰκονομικαῖς εἰσηγήσεσι.

ΟΓ΄.

Πλὴν ἐπὶ πᾶσι τελευταῖον ὑμῖν παρατιθέαμεν τὸν κατὰ φερωνυμίαν Θεοδώρητον ἀποφανθέντα τῇ ἐκκλησίᾳ, καὶ θεοφιλῶς καὶ θεαρέστως τῶν Στουδίου καθηγησάμενον, ὃς τοῖς τῆς ἑβδοματικῆς ἁγίας οἰκουμενικῆς συνόδου θείοις καὶ ἱεροῖς πατράσιν· εἰ καὶ μετ᾽ αὐτὴν τῷ χρόνῳ, συναρίθμιος γνωρίζεται παρ᾽ ἡμῖν, ἢ μᾶλλον ἐν τοῖς κρατύνασι ταύτην ἐνθέοις ὁμολογηταῖς καὶ μυσταγωγοῖς, πολὺς ὑμνεῖται τὸν ζῆλον, ἀδάμας ἄλλος γεραίρεται τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν, ὑψηλὸς ἐν αὐτοῖς ὑπάρχων· οἱ τῶν ἀρχῆθεν θεοβλήτων ὅλων μυστηπόλων, καὶ μετὰ θεὸν ὁδηγῶν καὶ σωτήρων· τῶν ἐν ταῖς κροτηθείσαις ἱεραῖς ἁπάσαις συνόδοις φωσφορησάντων, ἐπισφράγισμα καθαπερεὶ καὶ συμπέρασμα θεόθεν ἡμῖν φανέντες ἐπρυτανεύθησαν. Ὁ τοιοῦτος πρὸ βραχέων ἄρα χρόνων τῆς τοῦ Φωτίου πατριαρχείας ἀκμάζων εὑρίσκεται, καὶ τοῖς ὑπὲρ ὁμολογίας ἱδρῶσιν ἐγκαλλυνόμενος, ὡς μέσον ἀμφοῖν κράτορα καθεστάναι τὸν εἰκονομάχον Θεόφιλον, ὁ δ᾽ ἀπὸ τοῦ θείου Μαξίμου μέχρι τούτου διήκων χρόνος, τὴν διπλῆν ὅλην ἐνιαυτῶν ἐπιπλεῖστον ὑπερβαίνων ἑκατοντάδα, πεφθακότες ὡς ἠριθμήσαμεν, ἀναδείκνυται· καὶ μαρτυρία σαφὴς ἑκατέρωθεν ἔκ τε τοῦ πάλαι λόγοις ὑπερηγορίας διηγγελκότος τούτου πατρός, καὶ Φωτίου τοῦ σύνεγγυς ῥήμασι κακηγορίας ἐπὶ τοῦ μέσου θεμένου, τὸν ὁμολογητὴν εἰδέναι Θεόδωρον, Ῥωμαίων τὴν ἐξ ἀμφοῖν ἀναγόρευσιν. Ἀκούσωμεν οὖν ὁποῖα πρὸς σφᾶς καταφεύγων, ὡς σύνηθες τοῖς ἀνέκαθεν θεοφθόγγοις πατράσι, μετὰ τῶν συνομολογητῶν αὐτοῦ πλεῖστον καθηγουμένων πρὸς τοὺς οὕτω πρεσβεύοντας γράφει τε καί φησι· καὶ καθεξῆς οἷα πρὸς τοὺς ἐνταῦθα περὶ αὐτῶν.

ΟΔ΄.

Ἐν ἐπιστολῇ τοίνυν τῇ πρὸς τὸν πάπαν Πασχάλιον, μετὰ τῶν τοιούτων συσπουδαστῶν διέξεισιν οὕτω φωνῶν: – Ἄκουε ἀποστολικὴ κάρα, θεοπρόβλητε ποιμὴν τῶν Χριστοῦ προβάτων, κλειδοῦχε τῆς οὐρανῶν βασιλείας, πέτρα τῆς πίστεως, ἐφ᾽ ᾗ ᾠκοδόμηται ἡ καθολικὴ ἐκκλησία· Πέτρος γὰρ σύ, τὸν Πέτρου θρόνον κοσμῶν, καὶ διέπων. – Καὶ μετά τινα· – Δεῦρο δὴ ἀπὸ δυσμῶν ὁ χριστομίμητος· ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος. Πρὸς σὲ εἴρηκε Χριστὸς ὁ θεὸς ἡμῶν· καὶ σύ ποτε ἐπιστρέψας στηρίξεις τοὺς ἀδελφούς σου. – Καὶ αὖθις ἐν ἑτέρᾳ, πρὸς τουτονὶ μετὰ τῶν αὐτῶν. – Ὑμεῖς οὖν ὡς ἀληθῶς ἡ ἀθόλωτος καὶ ἀκαπήλευτος πηγὴ ἐξ ἀρχῆς τῆς ὀρθοδοξίας· ὑμεῖς ἁπάσης αἱρετικῆς ζάλης ἀπῳκισμένος εὔδιος λιμὴν τῆς ἐκκλησίας· ὑμεῖς ἡ θεόλεκτος πόλις τοῦ φυγαδευτηρίου τῆς σωτηρίας – Καὶ πολλὰ τοῖσδε παραπλήσια πρὸς αὐτόν, καὶ λοιποὺς τοὺς τῆς αὐτῆς ἐκκλησίας προέδρους διατρανοῖ.

OE'.

Πρὸς δέ γε τοὺς ἐνθαδὶ θείῳ προβλέπων ἐν πνεύματι μετὰ τῶν συναθλητῶν ᾧ δὴ καὶ φθεγγόμενος ἦν, τὴν μέχρι τοσούτου προβᾶσαν τῶν νῦν μανίαν· καὶ οἷον τήνδε προανακστέλλων, καὶ φωναῖς ἐννομότοις βεβαιοῦται διαπρυσίοις· ὡς οὔτε κατὰ τὸ περελυληθὸς κατ' αὐτῆς δὴ τῆς Ρωμαϊκῆς ἐκκλησίας, αἱ τῶν αἱρέσεων ἠδυνήθησαν γλωσσαλγίαι. Αὕτη γάρ, ὡς ἴστε, πάντως, ἀκλόνητος τῷ σάλῳ τῶνδε μεμένηκε, καὶ τῇ ταύτης συμμαχίᾳ καὶ οἱ θεῖοι πατέρες ἡμῶν ἐνταῦθα πᾶσαν βλάσφημον δόξαν συνοδικῶς ἀπετρέψαντο. Οὔτε μὲν ἰσχύσαιεν ἕως τέλους τὸ σύνολον. Καὶ δὴ πρὸς Ναυκράτιον ἐπιστέλλων κατ' εἰκονομάχων οὕτω φησί· - Μαρτυρῶ ἄρτι κατενώπιον θεοῦ καὶ ἀνθρώπων· ἑαυτοὺς ἀπέρρηξαν τοῦ σώματος τοῦ Χριστοῦ· τοῦ κορυφαϊκοῦ θρόνου, ἐν ᾧ Χριστὸς ἔθετο τὰς κλεῖς τῆς πίστεως· ἧς οὐ κατίσχυσαν ἀπ' αἰῶνος, οὐδ' ἂν κατισχύσωσι μέχρι συντελείας πύλαι ᾅδου, τὰ τῶν αἱρετικῶν δηλαδὴ στόματα, ὡς ἡ τοῦ ἀψευδοῦς ὑπόσχεσις.

Oϛ'.

Καὶ πρὸς βασιλέα Μιχαὴλ τὸν Ἀμμωριανόν, ἔτι φρόνημα τὸ οἰκεῖον μὴ φανεροῦντα καὶ περὶ τὸ ὀρθόδοξον χρηστευόμενον, μετὰ τῶν ἀγωνιζομένων οὕτω συντίθησιν· - Εἰ δέ τι ἀμφιβαλλόμενον, ἢ διαπιστούμενον τῇ θείᾳ ἡμῶν μεγαλονοίᾳ διαλύεσθαι ὑπὸ τοῦ ἀρχιερέως εὐσεβῶς, ἡ μεγάλη καὶ θεοστήρικτος χείρ, ὡς ζηλοτυποῦσα τὰ θεῖα ἐπ' ὠφελίᾳ τοῦ παντός, κελευσάτω παρὰ τῆς πρεσβυτέρας Ῥώμης δέξασθαι τὴν διασάφησιν, ὡς ἄνωθεν καὶ ἐξ ἀρχῆς πατροπαραδότως ἐξεδόθη. Αὕτη γὰρ Χριστομίμητε βασιλεῦ, ἡ κορυφαιοτάτη τῶν ἐκκλησιῶν τοῦ θεοῦ, ἧς Πέτρος πρωτόθρονος, πρὸς ὃν ὁ κύριος φησί· Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατίσχυσιν αὐτῆς. Τούτοις ἑπόμεθα, κἂν τοῖς πραγματικοῖς καὶ τοῖς ἀπὸ χρόνου θεωρουμένοις ἐπὶ τῇ ὑποθέσει, τοῖς θεόθεν ἀποφανθεῖσι κηδεμόσι καὶ διδασκάλοις, μηδὲ τοῖς ἀπ' αὐτῶν ὧν ἐπὶ τοῦ μέσου παράγετε, τῶν ἐν καιρῷ δηλαδὴ τῷ τῆς διαστάσεως λειπόμενοι συγκροτήσεως· ὑμεῖς δ' ἐκείνοις τοῖς ὄντως θεόφροσιν ὁμολογηταῖς, μὴ πειθόμενοι, καὶ πρὸς τούτους ἐναντιούμενοι, τίσιν εὑρεθῆτε συνόντες, αἰθρίας ὅθαν ἀναλαμψάσης, ὡς καὶ αὖ φαίην ἐκ τηλικαύτης σκοτομήνης τε καὶ ζοφώσεως.

OZ'.

Ἀλλ' ἐν τούτοις, ὦ τῶν παρόντων λόγων ἀκροαταί, δόξαν τῷ κραταρχοῦντι, λήγει μὲν τὰ τῆς διαλογικῆς ἀγωνίας. Ἀπαγόμεθα αὖθις εἰς δωμάτιον ἐκεῖνο τὸ στενωπόν, ὑπὸ τοῖς αὐτοῖς οἷς καὶ πρώην φρουροῖς τηρεῖσθαι καὶ φύλαξι· καὶ τὰ μὲν τῆς διαλέξεως ὡς ἔσχεν ἡμῖν ἀνηγγέλη κατὰ τὸ δυνατόν. Ἔστιν ἃ καὶ παραλιποῦσιν, ὡς ἐκ τῶν εἰκότων ὑπάρχει λογίσασθαι· καὶ γὰρ εἰς ὅλην ἡμέραν ἀτεχνῶς ἐξετάθη τὰ κατ' αὐτήν. Ἔστι δ' ἃ καὶ προσθεῖσιν, ὡς παρ' ἡμῶν δηλοῦται τρανώτατα. Πλὴν ὡς τὸ παρενθὲν τοῖς κευσμένοις ἐνταυθοῖ συλλαμβάνεται, τῆς αὐτῆς τυγχάνον διανοίας καὶ τοῦ αὐτοῦ σκοποῦ τε καὶ συμπεράσματος· οὕτω δὲ καὶ τὸ προσενθὲν τῶν τότε λαληθέντων οὐκ ἀπολείπεται, τῶν αὐτῶν καθεστῶς ναμάτων καὶ τοῦ αὐτοῦ κρουνοῦ τε καὶ ῥεύματος. Ἐκεῖσε δ' οὖν ἦμεν ἡμεῖς τοῖς ῥηθεῖσι φρουρούμενοι, καὶ μέχρι πολλοῦ καθ' ἡμέραν, ἢ καί τινων ἐκ διαλειμμάτων, λόγοις παλαίοντες οὐκ ἔτι τοῖς ἐξ ἀντιρρήσεων συγκεκροτημένοις, τοῖς δέ γε πολὺ μᾶλλον τὸ ἐπαγωγὸν κεκτημένοις, πρὸς θελημάτων τῶν σφεῖς προβαλλομένων ἐκπλήρωσιν· καὶ σπουδή τις ὡρᾶτο συχνὴ τοῦ κρατοῦντος δι' ἐλλογίμων συγκλητικῶν ἀνδρῶν καταπεμπομένων ἡμᾶς ἕλκυσαι, κατάνευσιν ὁποίῳ δή τινι τρόπῳ δοῦναι βραχεῖαν καὶ πάροδον ἐντεῦθεν ἑτοιμᾶσαι τοῖς σπουδασταῖς Κυπρίου, ταύτης ὡς δεδραγμένοις ἡμᾶς κατὰ μικρὸν ἀναγκάσαι δόγμα

μὲν ἀθετῆσαι τὸ τῶν πατέρων, ἐφ᾽ ᾧ τὰ τοῦ διαλόγου γέγονεν, ὡς ἐνεχαράχθη, συνθέσθαι δὲ ταῖς καινοφωνηθείσαις ἐν τόμῳ βλασφημίαις Κυπρίου τε καὶ Μουζάλωνος.

ΟΗʹ.

Καὶ ἦν ἐν τούτοις λόγος οὐχ ὁ τυχών. Τέλος ἐπεὶ μηδ᾽ ἂν εἴ τι καὶ γένοιτο, συνελθεῖν ἡμᾶς τοῖς οὕτω μηνυομένοις διεβεβαίωτο, κυροῦται τοῖς καλουμένοις μεγάλοις ἀρχείοις ἀχθέντας ἀσφαλῶς ἡμᾶς ἐγκλεισθῆναι. Καὶ γίνεται, συνεκπεμφθέντος καί τινος ἡγεμόνος τῶν ἐν αὐτοῖς ἐπεὶ τούτῳ φρουρῶν, συγκαθεστῶτος. Ἔτι δὲ καὶ τοῦ πρότερον, τρίτος ἡμῖν ἀνύεται χρόνος ἐνθάδε, καὶ περί που τὰς ἀρχὰς τοῦ τετάρτου καθεζομένοις, ἥκει τις ἐν μιᾷ τοῖς τῆς ἐκκλησίας συγκατειλεγμένος λογᾶσι, Γαλησιώτης τοὐπώνυμον τῷ ανδρί, λόγους κομίζων ἐκ τοῦ τὸν πατριαρχικὸν θρόνον ἄρτι κατέχοντος· καὶ ἦσαν οὗτοι μετριοφροσύνης πλήρεις, οἷς τε περὶ ἡμῶν ἐδήλουν, καὶ οἷς περὶ αὐτοῦ παρίστων τοῦ στείλαντος καὶ παρακλητικοί τινες προσέτι καὶ διεγερτικοί, πρὸς τὸ παραγεγονότας ἡμᾶς εἰς ὁμιλίαν ἐλθεῖν μετ᾽ αὐτοῦ, καὶ τούτων ὁ μεταπορθμευτὴς ἐπὶ τέλει τετράδιά τινα τῶν κόλπων ἐξενεγκὼν καὶ πρὸς ἀκρόασιν ἡμᾶς καταστήσας, εἰρηκότας μόνον, εἰ κατὰ τὸ εἰκὸς ἐνδέδοται οἱ παρ᾽ ἡμᾶς ταῦτα ἐᾶσαι διελθεῖν ἐσκεμμένους, καὶ πρὸς ἀπολογίας, εἰ δεήσει χωρῆσαι, καὶ ἀντιγράψαι· καὶ παρευθὺς φανεὶς ἀνανεύων ὁλοσχερῶς, ἀναγινώσκειν ἀπάρχεται· καὶ τὰ μὲν γεγραμμένα φωνῶν ἦν οὗτος καὶ διερχόμενος.

ΟΘʹ.

Ἡμεῖς δὲ τούτων πρὸς ἕκαστον ἀντιπαρατιθέμενοι τοὺς ἐλέγχους ἦμεν σχεδίως ἐμπίπτοντες, ἔνθα δὴ καθειστήκεισαν, καθημένου καὶ τῶν ἐν φρουροῖς ἡγεμόνων ἑνὸς, καὶ τῶν λεγομένων ἀκροωμένου λίαν ἐπιμελῶς· ὧν ἐφ᾽ ἱκανὸν προκεχωρηκότων, ἐπείπερ ὁ πεμφθεὶς ἐπὶ τοῖς παρ᾽ αὐτοῦ κεκομισμένοις μηνύμασι, νόστου μεμνημένος ἀπολογίας ᾔτει· βουλόμεθα πρὸ πάντων φαμὲν τὰ παρ᾽ ἡμῶν ἐπὶ τῷ γράμματι λελεγμένα, τῷ πεπομφότι γνωστὰ γενέσθαι, καὶ περὶ τοῦ ἀφικέσθαι θελητὸν ἐπεὶ καθέστηκεν ἐλευσόμεθα. Πλὴν εἰδέτω βεβαίως ὡς μετὰ τηρήσεως, τῆς τοῦ συνειδότος ἥξομέν τε καὶ ὁμιλήσομεν, καὶ τοῦδ᾽ ἐκσταίημεν οὔποτε. Ἀπῄει καὶ γοῦν, καὶ τὴν ἑξῆς αὖθις ἐπιδημεῖ, καλῶν ἡμᾶς καὶ κατεπείγων ὑπερβαλλόντως, ὡς δέ τινων ὑπόνοιαν σχοίημεν ἐκ ῥημάτων, μὴ τοὺς λόγους ἡμῶν ἐντελῶς διαπορθμευθῆναι διατεινόμεθα μηδαμῶς ἡμᾶς ἑκόντας, εἰ μὴ γένοιτο τοῦτο, παραγενήσεσθαι, καὶ ὃς ἀπιὼν καὶ τὴν μετ᾽ ἐκείνην ἐπανιὼν κατὰ τὸ βουλητὸν ἡμῖν θεῖναι πάντα δισχυρίζεται, καὶ τὴν ἀπέλευσιν οὐχ᾽ ἧττον ἐπιταχύνει.

Πʹ.

Καὶ ἡμεῖς ἀπερχόμεθα, καὶ μετὰ τοῦ καλέσαντος ὁμιλοῦμεν, εἰρηνικοῖς ἡμᾶς δεξιουμένου καὶ νεύμασι καὶ φωνήμασι, καὶ περὶ πλείστου ποιουμένου κοινωνίαν στέρξαι τὴν μετ᾽ αὐτοῦ. Κἀπειδὴ παρ᾽ ἡμῶν εἰς μνήμην ἔλθοι τόμος ὁ τοῦ Κυπρίου, εὐθὺς ἐκεῖνος κακῶς τόνδε προβῆναι διαγορεύει, καὶ μὴ δεκτὸν ἔχειν ἐμφανῶς ἀναγγέλλει, καὶ ἡμᾶς ἐντεῦθεν ἀγαθυνθῆναι καὶ πρὸς αὐτὸν διατεθῆναί πως παρασκευάζει· καὶ πρὶν εἰδότας μήτοιγε μέλανι καὶ καλάμῳ συνελθεῖν τοῖς τούτου καινοφωνίαις, ἀλλ᾽ οὐδὲ τῇ βουλῇ καὶ σκέψει παρεῖναι, καὶ ταῖς ἐκβάσεσιν, ὃς καὶ καθεξῆς ἐντυγχάνων ἐνδιαθέτως, οὐχὶ κοινὸν εὐαγγέλιον φάσκει, οὐχὶ κοιναὶ τῶν ἀποστόλων ἐπιστολαὶ, τὸ καθ᾽ ἑκάστην ἐπ᾽ ἐκκλησίας ἀναγινωσκόμενον σύμβολον οὐ δεκτόν; οὐχ᾽ ὁ ἑβδοματικὸς τῶν οἰκουμενικῶν ἁγίων συνόδων ἀριθμὸς ἀσπαστός; καὶ ἡμῶν διὰ μέσου μετὰ μειδιάματος ἀποκριναμένων· καὶ τίς ὁ μὴ ταῦτα κατέχων, καὶ ψυχῇ καὶ καρδίᾳ σέβων καὶ ἀσπαζόμενος; Ἐκεῖνος οὐκοῦν φησι δυσωπητικῶς· ἐκθέμενοι ταῦτα γραφαῖς ἥκετε μεθ᾽ ἡμῶν εἰς συναφείας δεσμοὺς, σφίσιν ἀρκουμένων, καὶ

μὴ περαιτέρω ζητούντων μηδοτιοῦν· καὶ ἡμεῖς κατανεύσαντες αἰτοῦμεν ἀπιέναι· κἀκεῖνος ἐνίστατο· μηκέθ' ἡμᾶς καθειρχθεῖναι· κατευθῦναι δὲ ἐκεῖσε πρὸς ὀλίγον· ἕως τ' ἂν προμήθεια γένηταί τις διατριβῆς ἡμῖν καὶ κατασκηνώσεως.

ΠΑ'.

Ἀλλ' ἡμεῖς εὐτόνως καταναγκάσαντες ὑποστρέφωμεν, ὅθεν ἐξῄειμεν. Ἐγχαράττομεν μέντοι τὴν αἰτηθεῖσαν γραφήν, μὴ πρὸς πρόσωπον οἱονδηποτοῦν ἀποτεινομένην, ἀλλ' ἀπολύτως προηγμένην, ἔνθα δὴ περὶ τῶν συνόδων διαλαμβάνομεν, προσθέμενοι στέργειν καὶ ὅσαπερ οἱ θεηγόροι πατέρες περὶ τῆς ἁγίας καὶ ὑπερουσίου τριάδος Πατρὸς Υἱοῦ καὶ Πνεύματος, ἁπανταχοῦ τῶν οἰκείων συγγραμμάτων ἐδογμάτισαν καὶ ἐθέσπισαν· καὶ δὴ μὴ μελήσας ὁ πρὶν ἀγγελιαφόρος, ἐσαῦθις φοιτᾷ καὶ μεθ' ἡμῶν ὁμιλῶν, ὡς ἐρωτῶν ἀνεφάνη· τίνα τὰ εἰς οἰκονομίαν ἡμῖν ἐκ τῶν τῆς ἐκκλησίας ἐνόντα· πρὸ τῆς τῶν γεγονότων συμβάσεως, καί τινας λοιποὺς τοιούτους εἰρήκει λόγους, συνεῖναι καὶ συνδιάγειν ἡμᾶς ὡς τὸ πρότερον παριστῶντας; Φωνοῦμεν εὐθὺς ἀνυπερθέτως ἐρεῖν πρὸς τὸν στείλαντα, ὡς οὐ σκοπὸς ἡμῖν τὸ παράπαν τοῖς τοῦ κλήρου συνδιαιτᾶσθαι, καί τι τῶν τοῖς ἐκκλησιαστικοῖς ἀνηκόντων διενεργεῖν, ἀλλ' εἰρηνεύειν τῶν τινι σεμνείων καθημένοις ἐν ἡσυχίᾳ· καί ποτε χρονίως καὶ πρὸς αὐτὸν παραβάλλουσιν.

ΠΒ'.

Ἦν γὰρ ἡμῖν ἐν ἑαυτοῖς τεταγμένον, δοῦναι μὲν τὴν ἁπλῶς εἰρήνην, οὐ μὴν δὲ καὶ τὴν ἐφ' ἅπασι μετουσίαν ἔχειν καὶ κοινωνίαν τῶν τοῦ Μουζάλωνος καὶ Κυπρίου κατὰ τῶν πατρικῶν θέσεων λυττημάτων, καίπερ καὶ τῶν σφετέρων πολλοῖς ἀπεληλεγμένων, μὴ τῷ ἀναθέματι παραδεδομένων, ἀλλὰ καὶ τῶν αὐτοῖς συλληπτόρων κραταιουμένων ἑκάστοτε· τότε καὶ λαβὼν ὁ ῥηθεὶς γραφήν τε τὴν ἐκτεθεῖσαν καὶ λόγους οὓς ἀνεπέμπομεν, μεταβαίνει, καὶ χρονιαίου διαστήματος ἐντελοῦς ἔκτοτε παρεῤῥυηκότος, λόγος οὐδεὶς ἡμῖν ἐπὶ τούτοις· μόνον δ' ἠκηκόειμεν ἀμυδρῶς, ὡς τοῦ ἐπὶ τοῦ θρόνου καθημένου, καὶ τῶν εἰς ὄνομα ποιμένων τῷ Κυπρίῳ πλαστουργηθέντων, ἀμφιβολίαι μέσον ἐνέσκηψαν ἐφ' ἡμῖν. Πλὴν πέρατι τῷ τοῦ ἔτους καλεῖ καὶ πάλιν ἡμᾶς ὁ Γαλησιώτης, καὶ ἐνδημοῦμεν πρὸς ὃν καὶ τὸ πρότερον· καὶ λόγων κεκινημένων, εὑρίσκομεν ἐν βραχεῖ λόχον ἐκεῖνον, οὗπερ ἐμνήσθημεν, μετάνοιαν αἰτοῦντος μικράν, καὶ μηδέν τι πλέον· τοῦτο δὴ τὸ λεπτὸν καὶ σοφόν.

ΠΓ'.

Εἶθ' οὕτως ὑποσχέσεις προτεινομένου, μὴ μέντοι μετὰ παῤῥησίας φᾶναι προθυμουμένου τὰ τῶν ὑποθεμένων, ἀθετήσεις τε κυρώσεις, ὧν ἀνωτέρω γε δεδηλώκαμεν· ἐπὶ τούτοις ἀντιποιούμενον αὐτόν, ὡς οἰκείου γράμματος ἐκείνου καθορῶμεν, οὗ πέπομφε πρὸς ἡμᾶς, οὗ καὶ τοὺς ἐλέγχους ἀναγγεῖλαι τῷ διακομιστῇ συντετμημένως διὰ στόματος παρεθήκαμεν· ὃ καὶ τῶν τῇ λογικῇ τέχνῃ σεμνυνομένων οὐτινοσοῦν ὑπάρχον, ἀκηκοότα τὰ διαμηνυθέντα παριδεῖν ἐδοκοῦμεν, ὡς τοῦ εὐθέως ἔξω φερόμενον.

ΠΔ'.

Καὶ ἃ μὲν εἰπεῖν ἡμᾶς πρὸς ταῦτα καὶ ἀκηκοέναι γέγονε τηνικαῦτα, διηγορευκότος ἑτέρου καθαρῶς, ὡς ἐῤῥέθη, θυμήρες ἂν ἡμῖν ἐφάνη τὰ μάλιστα, τοῖς τ' ἀκροασαμένοις, πρὸς τῇ μυήσει τῶν λελεγμένων, καὶ χαριεντισμός τις ἂν ἐπηκολουθήκει, καίπερ οἷς οὐκ ἔδει τὸ σύνολον· νῦν δὲ τοσοῦτον ἐπ' ἐκείνοις λεκτέον ὡς αἱρετὸν μᾶλλον ἔσχομεν ὄντως ἐν εἱρκταῖς θανεῖν, καὶ ᾗ συνεξεταζόμεθα στενώσει καὶ κακουχίᾳ, ὡς μὴ ἐπέκεινα φαίημεν, ἃ δ' ἐνοπτριζόμεθα στέργοντες, ἅπερ ἐμπεσεῖν εἰς ἃ καθυποβαλεῖν, οὐχ' οἱ κεκληκότες, ἀλλ' οἱ δι' αὐτῶν πειρώμενοι κατειπείγοντο. Ἀλλὰ παρέντες τὰ

λαληθέντα τὰ τοῦ γράμματος οὐ φέρομεν ὡς ἐνσημανθέντα καὶ κείμενα παρελθεῖν· ἐφ᾽ ᾧ καὶ ἦν ἂν ἡμῖν περὶ πλείονος ἀσπαστὸν, εἰ, καθὼς ᾐτήσαμεν, ἐπεδόθη· καὶ προυβεβήκει πρὸς ἔπος καταστρωννῦσιν ὡς εἰωθὸς τὰ τῆς ἀντιπαραθέσεως· τοῦ στείλαντος δέ γε μὴ βουληθέντος.

ΠΕʹ.

Ἀλλ᾽ ὡς ἐν παρόδῳ μόνον ἀναγνῶναι παρακελευσαμένου, ἡνίκα καὶ οἱ ἐπὶ σοφίᾳ καὶ λόγῳ περικλεεῖς ἐξεναντίας ἡμῖν, τῶν παρεληλυθότων τέ φημι καὶ τῶν νῦν, εἴτι που γεγραφέναι καθ᾽ ἡμῶν ἠγωνίσαντο, κρύπτειν ἀφ᾽ ἡμῶν σπουδὴν ἔθεντο, καὶ μηδὲ πρὸς λόγους ἡμῖν ἥκειν οἱ παρόντες καὶ καθὰ μὴ καλῶς λέγουσιν, ὥς φασιν ἐλεγκτικῶς παριστάνειν, καὶ τὸ δέον δεικνύειν ἐθέλουσι· καὶ ταῦτα μηδένα τὸν μεθ᾽ ἡμῶν ὄντα συνομολογούντων φανοῦντες· δύο καθεστώτων, ὡς δ᾽ ἀληθῶς ἐγὼ προστίθημι καὶ οὐδαμινῶν τινα τὴν σοφῶν ἐπὶ τῇ ὑποθέσει πρὸς ἡμᾶς συνείδησιν οἴονται φαίνειν. Ἐπεί τοί γε πρὸς τοὺς ἐκτὸς αὐτοῖς οὐδεμία φροντὶς τῇ τε τοῦ πλήθους οἴκοθεν, ὡς πολλάκις ἐλέχθη, ῥοπῇ, τῇ θ᾽ ἡμετέρᾳ καθείρξει καὶ τῇ τοῦ λέγειν ἀδείᾳ σφίσιν ὅσα καὶ βούλονται· ὅμως ἃ συναγαγεῖν ἡμῖν ἐκ τῆς κατ᾽ ἐπιδρομὴν ἐκείνου τοῦ λογικοῦ πονήματος ἀναγνώσεως ἐξεγένετο, καὶ τότε πρὸς τὸν ἀνάγοντα μετ᾽ ἐλέγχων διαγγελθέντα, καὶ νῦν εἰς μνήμην ἰόντα, ὡς οἷόν τε διαληψόμεθα. Σκοπὸς τῷ σκυτομένῳ, τοδὶ, καθὸ καὶ πᾶσι τοῖς ἀρτίως εἰς τοῦτο κεκινημένοις, μήτ᾽ ἐξ υἱοῦ δεῖξαι, μήτε δι᾽ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον· παράγει γοῦν ῥήσεις ἔκ τε τῆς παλαιᾶς διαθήκης, ἔκ τε τῆς νέας, ὅσαι διαῤῥήδην ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, τοῦτο κηρύττουσι.

Πϛʹ.

Προστίθησι ῥήσεις θεολογικὰς τῶν ἱεροκηρύκων διδασκάλων τὰς διατοανούσας, ὡσαύτως ἐκ τοῦ πατρός· καταπυκνοῖ ταύτας, ἄλλην ἐπ᾽ ἄλλῃ συχνὰς, ἐπιφέρων, ὡς εἰ ἀμφιβολία τις ἀνεφύη περὶ τοῦ ἐκ πατρὸς λέγεσθαι τὸν Παράκλητον, ἢ τούτου μὴ ὄντος, εἰ ἀποχρῶσά τις παράστασις ἦν ἐντεῦθεν τοῦ μὴ ἐξ υἱοῦ, ἢ δι᾽ υἱοῦ τὸ παράπαν ὑπάρχειν. Εἰς τοῦτο γὰρ ἡ πρόθεσις ἀποτείνεται· ἀλλ᾽ οὐχὶ δείξεως ἀκολουθία περ ἥδε· ἔδει δὲ μᾶλλον αὐτὸ διαφανῶς ἀναιρῆσαι τὸ ἐξ υἱοῦ τε καὶ δι᾽ υἱοῦ· καὶ μήθ᾽ ὅλως διαγγέλλεσθαι, μήθ᾽ εὑρίσκεσθαι καθαρῶς ἀποφῆναι, ἢ τοὺς οὕτω φρονοῦντας ἀπελέγξαι στεῤῥῶς. Εἰ δ᾽ ὅτι τὸ ἐκπορεύεται τίθησιν, ἐντεῦθεν οἴεται πᾶν ἀνύειν τὸ σπουδαζόμενον.

ΠΖʹ.

Ἔδει καὶ οὕτω κατὰ τὴν αὐτοῦ δόξαν, πρῶτα μὲν εἰς τὸ ἐξ υἱοῦ τὸν μέγαν ὁμολογητὴν τὸν Μάξιμον ἀνατρέψαι τὸ ἐκπορεύεται τιθέμενον κατὰ λέξιν· οἷς οὕτω διαγορευόντων ὑπερηγορῶν τῶν Ῥωμαίων ὀπτάνεται, καὶ ταῖς θείαις χρήσεσι τῶν πατέρων σύμφωνον ἀποφαίνεται· καὶ καθεξῆς Κύριλλον τὸν θεόπνουν, ὃν καὶ κατ᾽ ἐξοχὴν εἰς μαρτυρίαν ὁ πολὺς οὗτος τῶν οἰκείων τούτων ῥημάτων πέρα λαμβάνει· οὗ καὶ τῶν ῥήσεων ἐνίας, αἷς τὸ ἰσόδυναμον ἀριδήλως ἐναστράπτει τρανῶς ἄνω που παρεθήκαμεν, καὶ λοιποὺς ὡσαύτως, οἳ θεηγορίαις ἐναργέσι τὸ ἰσοσθενὲς ἐδογμάτισαν.

ΠΗʹ.

Εἶτα κἀκείνους ἀνασκευάσαι διαυγῶς ὅσοι περ ἐν τοῖς δι᾽ υἱοῦ τὸ ἐκπορεύεται παρειλήφασιν· ὃ καὶ κατωτέρω ποιῶν ἰταμωτάτως ἀποθρασύνεται· νῦν δέ τις ὁ ἀμφιβάλλων, οἷς ἐκ τοῦ πατρὸς ἐκπορεύεται, τὸν λόγον εἰς μῆκος ἐκτείνων κατεπείγεται συνιστᾶν· ὅμως τὸ τῇ προθέσει προκείμενον βεβαιότερον συγκροτῶν, διπλᾶς ῥήσεις προτείνει· τὴν μὲν ὡς Κυρίλλου τοῦ θεοῤῥήμονος, τὴν δὲ ὡς Νείλου τοῦ ἀσκητικῶς τὸν βίον ἀνύσαντος, ἐκ πατρὸς μόνου λεγούσας ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον νῦν αὐταῖς

ἐχρῆν τοὺς τοῦ σφετέρου μέρους μεγάλους ἐκείνους προηγόρους αἰδεσθῆναι Κύπριον καὶ Μουζάλωνα, οἳ πειραθέντες ἐπὶ τοῦ μέσου τάσδε παραγαγεῖν, καὶ δοῦναι γραφαῖς ἀπηλέγχθησαν· ἅτε μὴ βίβλοις ἐγκειμένας παραστῆσαι δυνηθέντες ἀξιοπίστοις, ὡς αἱ τῶν πατέρων ἀληθῶς πεφυκυῖαι καθεστήκασιν ἐμφερόμεναι· καὶ παρὰ τοῦτο μηδὲν δικαστηρίοις ἐκείνοις, καί τοι σφοδρᾶς ἀνάγκης ἐρεθιζούσης, περὶ αὐτῶν ὑπογρύξαντες· ἀλλὰ καί τινας παρενεγκεῖν προθυμηθέντας κατασιγάσαντες· καὶ ῥᾳδιουργίας ἐκείνων εὖ εἰδότες τῶν ἐπὶ συστάσει τῶνδε τεχνασαμένων, καὶ τὸν παρηκολουθηκότα σφίσιν ἐκ φανερώσεως θρίαμβον,

ΠΘ΄.

Ἐφ' αἷς καὶ λοιπὰς ῥήσεις διδασκάλων καταστρωννύει, πάνυ μὲν ὑμῖν ἐγνωσμένας, ἥκιστα δὲ διηγγελμένας, ὡς τεθεολόγηται τοῖς γεννήτορσιν· ὅθεν καὶ πρὸς τὸν κομισάμενον τὸ περιλαμβάνον ταύτας καὶ διερχόμενον, ἐφ' ἑκάστη τοτε, τόν τε φάμενον θεηγόρον φωνοῦντες, καὶ τὸ πέρα πεποιημένως ἔχον δεικνῦντες· καὶ ὅπως ἔσχεν ἀπαραποιήτως ῥηθέν. Νῦν ἐπεὶ μὴ εἰς χεῖρας ἡμῖν ἐλθεῖν ἐκεῖνο παραχωρεῖται, κεφαλαιωδῶς ἐροῦμεν ὅσον ἐν βραχεῖ τηνικαῦτα, τὸ πᾶν συνηθροικότες διαμεμηνυκέναι πρὸς τὸν στείλαντα φθάνομεν· ὡς ἔστι μὲν ἀπαρατρώτους προτιθέμενον θεορρημοσύνας τῶν θεοπροβλήτων μυστηπόλων τῆς ἐκκλησίας· ὅσαι μήθ' ἡμῖν ἐμποδὼν καὶ τῷ ἐκθεμένῳ πρὸς τὸ βουλητὸν εἰς ὄνησιν οὐδαμῶς· ἅτε τῆς κοινῆς ὁμολογίας ἅπασιν, ὡς δεδήλωται, καθιστάμεναι· παράγει δὲ καὶ καθεξῆς διαφόρους ἑτέρας, ὧν αἱ μὲν τῆς ἀνυποστάτου καὶ πλασματώδους ἀναπέφανται διανοίας καὶ ἐργασίας· ἃς καὶ προσεχῶς κατὰ ῥῆμα διηγορεύκαμεν· αἱ δὲ τὸ μεταλλαγμένον ἔσχον καὶ παρασεσαλευμένον εἰς γνώρισμα καὶ πέρας τὸ δι' υἱοῦ ἐκπορευόμενον τίθησιν ἀπαρεγχειρήτως· πρὸς ὃ πᾶς αὐτῷ σκοπὸς καὶ πᾶσα κατέπειξις, ἐφ' ᾧ καὶ οἴκοθεν φάσκων, ὃ τὸ ταῦτα περιέχον προαγαγὼν τὰ τοῦ λόγου στρέφων καὶ μεθοδεύων, ἐκ κατασκευῆς τῆς ἐκ τοῦ πατρὸς ἐκπορεύεται, περισσὸν ἐπικρίνει τοῦτο καὶ μὴ δεκτόν· καὶ τοιούτου νοὸς ἐπισυνείρων ῥήματα, καὶ συνάπτων, ὁλοσχερῶς ἀποπέμπεται πρὸς ἃ καὶ τὰ τῶν ἐλέγχων τότ' εἰρηκότες, καὶ τῷ πεπομφότι μεταβιβασθῆναι πεφροντικότες· ἀρτίως ὅθεν οὗτος ἰδιοποιεῖσθαι ταῦτα θερμῶς προήχθη, καὶ ζεόντως ἀναδέχεσθαι φαίημεν.

Ϙ΄.

Εἶτα καὶ τὴν ἐπὶ τοῖς ῥηθεῖσιν ἀτοπίαν δήλην οὖσαν, ὅση τις παραθήσομεν· οἴεται καθὰ καὶ σύμπας σχεδὸν ὁ πρὸς τάδε διαμαχόμενος, ἀτελῆ τὴν ἐκπόρευσιν ἐκ πατρὸς λέγεσθαι, καὶ δι' υἱοῦ ταύτην ἀναπληροῦσθαι, εἴπερ αὕτη δι' υἱοῦ καταγγέλλοιτο. Καὶ πρῶτα μὲν αὐτὸν ἔδει καὶ τοὺς τοιούτους μὴ σοφωτέρους ἑαυτοὺς ἡγεῖσθαι, καὶ τὰ βάθη τοῦ πνεύματος εἰσδύντας πλέον καὶ ἐρευνήσαντας τῶν θεοειδῶν φωστήρων Μαξίμου δή φημι καὶ Ταρασίου καὶ τοῦ Δαμασκόθεν χαριτωνύμου, τὸ διαπεφευγός, ὥστε καὶ μὴ δυνηθὲν σφίσιν ἐπὶ τοῖς οἰκείοις εἰς γνῶσιν ἐλθεῖν, εὑρέσθαι, τοῦ ὀρθοῦ καὶ ταῦτ' ἐκφερόμενον. Εἶτα δὲ καὶ συμβιβάζειν ἔδει πρὸς τοὺς λοιποὺς πατέρας, καὶ μὴ ἐναντίους δεικνύναι πρὸς ἐκείνους, καὶ ἀναιρεῖν ἐντεῦθεν, καὶ ἀνέδην οὕτω κατεξανίστασθαι· πλὴν ἡμῖν οὐκ οἴκοθεν· ἀλλ' ἐκ τῶν κατ' αὐτοὺς θεοφόρων, τὸ πρὸς τούσδε σφίσι σύνδρομον κηρυχθήσεται, καὶ τὸ μηδεμίαν ἔμφασιν ἔχειν ἀτελείας, τὸ δι' υἱοῦ τρανωθήσεται καὶ πρό γε τῶν ἄλλων ἐκ τοῦ μεγαλωνύμου λαμπτῆρος Βασιλείου δογματίζοντος οὑτωσί πως ἐν τοῖς πρὸς Ἀμφιλόχιον· - τὸ διὰ τοῦ υἱοῦ δημιουργεῖν τὸν πατέρα, οὔτε ἀτελῆ τοῦ πατρὸς τὴν δημιουργίαν συνίστησιν, οὔτε ἄτονον τοῦ υἱοῦ παραδηλοῖ τὴν ἐνέργειαν· ἀλλὰ τὸ ἡνωμένον τοῦ θελήματος παρίστησιν· ὥστε ἡ δι' υἱοῦ φωνὴ τῆς προκαταρκτικῆς αἰτίας

ὁμολογίαν ἔχει, οὐκ ἐπὶ κατηγορίᾳ τοῦ ποιητικοῦ αἰτίου παραλαμβάνεται. -

ϙΑ΄.

Μετέπειτα καὶ τῶν λοιπῶν ὡσαύτως, ὡς εἴποιμι συνελὼν μεγαλοφώνως ὅσοι δι᾿ υἱοῦ τεθεολογήκασι· μάταιον δὲ κἀκείνων δειχθήσεται προσέτι τὸ διανόημα τῶν λεγόντων ἐπὶ τῆς δημιουργίας εἰρῆσθαι ταῦτα, καὶ μηδαμῶς ἁρμόττειν ἐνταῦθα· κἀντεῦθεν τὴν δι᾿ υἱοῦ τοῦ πνεύματος ἀθετούντων ἐκπόρευσιν, εἴ γε τὴν τῶν ὄντων πάντων προαγωγὴν καὶ τὴν τοῦ πνεύματος πρόοδον, δι᾿ υἱοῦ σαφῶς οἱ πατέρες διδάσκουσι· καὶ τὴν διαφορὰν ἔν τε τῇ ὁμοουσίῳ ἀϊδιότητι καὶ τῇ χρονικῇ ποιήσει παραδιδόασιν· ὡς τὸ μὲν ἐκ πατρὸς φυσικῶς ὑπάρχειν, καὶ ἀϊδίως· τὰ δὲ χρονικῶς τε καὶ δημιουργικῶς, ὡς ποιήματα· ὥστε τῆς διαφορᾶς ἐν τούτοις θεωρουμένοις ἐπί τε τοῖς κτιστοῖς, ἐπί τε τῇ τοῦ ἀκτίστου πνεύματος ἐκπορεύσει, τὸ ἀτελές· οὔμενουν ἕξει παρείσδυσιν· οἷς ἄμφω δι᾿ υἱοῦ κατὰ τοὺς θεόφρονας, καὶ ὅτι ταῦθ᾿ οὕτω, κἂν τοῖσδε τὸ διαλλάττον.

ϙΒ΄.

Καὶ τῆς εὐσεβείας μέγας πρόβολος Ἀθανάσιος, ἐμφανῶς παρίστησι φάσκων· - ἦν δὲ ἀδύνατον ἐν τῇ τῆς τριάδος δόξῃ τὸ πνεῦμα δοξάζεσθαι, μὴ προοδικῶς ὂν ἐκ θεοῦ δι᾿ υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ θεοῦ γεγονὸς, ὡς λέγουσι. - Τὸ δι᾿ υἱοῦ γὰρ εἰς ἑκάτερον τίθησιν ἐναργῶς, καὶ τὸ διενηνοχὸς, εἴς τε τὸ προοδικῶς ἀφορίζει καὶ τὸ ποιητικῶς τῇ τοῦ ἑνὸς ἐναιρέσει, τῆς ποιητικῆς ὑπάρξεως δηλαδὴ, τὸ ἕτερον κατασκευάζων, τὴν προοδικὴν ἀριδήλως τοῦ πνεύματος ὄντωσιν.

ϙΓ΄.

Ἔτι γε μὴν ἐμφαντικωτάτως δείκνυσι καὶ ὁ τῶν Νυσσέων ποιμὴν, ἐν τοῖς πρὸς Εὐνόμιον ἀντιῤῥητικοῖς οὕτω θεολογῶν· - τὸ πνεῦμα τῷ πατρὶ κατὰ τὸ ἄκτιστον συναπτόμενον, πάλιν ἀπ᾿ αὐτοῦ τῷ μὴ πατὴρ εἶναι, καθάπερ ἐκεῖνος διαχωρίζεται· τῆς δὲ πρὸς τὸν υἱὸν κατὰ τὸ ἄκτιστον συναφείας, καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ θεοῦ τῶν ὅλων ἔχειν, ἀφίσταται πάλιν τῷ ἰδιάζοντι, ἐν τῷ μήτε μονογενῶς ἐκ τοῦ πατρὸς ὑποστῆναι καὶ ἐν τῷ δι᾿ αὐτοῦ τοῦ υἱοῦ πεφηνέναι. Πάλιν δὲ τῆς κτίσεως διὰ τοῦ μονογενοῦς ὑποστάσης, ὡς ἂν μὴ κοινότητά τινα πρὸς ταύτην ἔχειν νομισθῇ τὸ πνεῦμα ἐκ τοῦ διὰ τοῦ υἱοῦ πεφηνέναι, ἐν τῷ ἀτρέπτῳ καὶ ἀναλλοιώτῳ διακρίνεται τὸ πνεῦμα ἀπὸ τῆς κτίσεως. - Εἰ γοῦν μὴ ἔχοντες ἀντειπεῖν, ἐφ᾿ οἷς αὗται παρήχθησαν τῶν τηλίκων θεηγόρων αἱ μαρτυρίαι, δράζονται, κἀνταῦθα τοῦ πεφηνέναι, διακενῆς εὑρεσιλογοῦντες, καὶ μὴ τὴν ὕπαρξιν ἐκ τούτου δηλοῦσθαι τοῦ πνεύματος ἐνιστάμενοι, παριδόντες τὸ κοινῶς ἐρεῖν, εἰς τὸ ὑπάρχειν ῥῆμα τοδὶ πᾶσι λαμβάνεσθαι, μόνον ἀναμνήσομεν ἀρκεσθέντες, ὡς ἔλεγχος ἄνω σφίσιν ἔστηκεν ἀντιμέτωπος, οἷς τὸν μεθ᾿ οὗ συναριθμεῖσθαι σπεύδουσιν οὗτοι καματηρὸν ἐκ φωνῆς τῆσδε, χρήσεως ἐπὶ ταύτης, καὶ κατ᾿ αὐτὴν ἑτέρων τὴν ἀΐδιον ὕπαρξιν τρανοῦσθαι τοῦ πνεύματος διαγγέλλοντα παριστάνομεν.

ϙΔ΄.

Καὶ οἷς ἐπὶ λοιπαῖς λέξεσι τοιαύταις ἐκ πατέρων ἐκεῖσε διαγορεύομεν, ὡς καὶ ἡ προσεχῶς τεθεῖσα πρόοδος ταύταις συνεισαχθείη μοι· καὶ τοῦ λοιποῦ κατίδωμεν ἢ θέσεως ἐκ τῆς παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον ὁμολογουμένης, τὸ διὰ τοῦ υἱοῦ παρὰ τοῦ πατρὸς τοῦτ᾿ ἐκπορεύεσθαι, περισσὸν, ὡς μὴ ταύτῃ συνερχόμενον, ἀλλ᾿ ἐξωθούμενον ἐπικρίνοντες, κατά τίνων διαβεβαιοῦνται, καί τισιν ἀπερικαλύπτως ἀνθίστανται· καὶ τὸ μὲν ἐντεῦθεν ἀποσοβεῖσθαι τρεῖς τῶν θεοσόφων μυσταγωγῶν, τοὺς ἀνωτέρω μικρὸν κατ᾿ ὄνομα τεθειμένους, καὶ κατ᾿ ἔπος οὕτω τεθεολογηκότας. Ἐῶ γὰρ καὶ τὸν λοιπὸν τούτων φάναι κατάλογον, ὅσοι δι᾿ υἱοῦ καὶ δίχα

τοῦ ἐκπορεύεσθαι, ῥηματικαῖς ἑτέραις φωναῖς ἐδογμάτισαν περὶ ἐλαχίστου σφίσιν ὡς ὀλιγοστοὺς πεφηνότας, καὶ μὴ κατ᾽ αὐτοὺς τὴν εἰς βάθος τοῦ εὐαγγελίου διάνοιαν κατοπτεύσαντας.

ϞΕ΄.

Ἐπεὶ δὴ καὶ τοιοῦτοι λόγοι τῶν οὕτω κεκινημένων, ἢ μᾶλλον ὁποῖοι, παρατρέχω διασαφῆσαι, τὸν τοιοῦτον θρίαμβον αἰσχυνόμενος, ὁ παρ᾽ αὐτῶν προπολεμούμενος, ἐχρὴν ἐκεῖνο δὲ κἂν συνιδεῖν, τὸ σύνοδον ὅλην οἰκουμενικὴν ἐντεῦθεν ἀποῤῥαπίζεσθαι τὴν τὸν ἑβδοματικὸν ἀριθμὸν συμπεράνασαν, καὶ εἰς ἑκατοντάδας ὅλας, ἔτι δὲ δεκάδας ὅλας, ποσουμένους ἁγίους πατέρας πλουτήσασαν· οἳ τὴν οὕτω νῦν ἀθετουμένην θεολογικὴν ῥῆσιν, ὡς περιττὴν, τῇ θέσει τῆς ἑτέρας ἀποφηνάμενοι σύμφωνον ἐπεκύρωσαν. Ἐφ᾽ ᾧ καὶ τῶν δεόντων ἡμῖν ἐπὶ τούτοις ἀφ᾽ ἑαυτῶν μηδέν τι φθεγγομένοις, ὃ μὴ τοῖς θεοφορήτοις ἐρηρεισμένον, καὶ αὐτὰς παραθεῖναι γνώμας ἐκείνων, ἐκ τῶν τῆς τοιαύτης συνόδου πρακτικῶν ἀναλεξαμένοις, ὡς προηνέχθησαν.

ϞϚ΄.

Εὑρίσκεται καὶ γοῦν ἐν αὐτῇ τόμων προβιβασθεῖσα δυὰς, ὁ μὲν ἐκ μέρους κεκομισμένος τοῦ τῶν ἀνατολικῶν, ὁ καὶ - τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ θεοῦ καὶ πατρὸς ἀϊδίως ἐκπορευόμενον - καταγγέλλων· ὁ δὲ παρὰ Ταρασίου προηγμένος τοῦ ἐν πατριάρχαις ἁγίοις περικλεοῦς, ὁ καὶ - εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ πατρὸς δι᾽ υἱοῦ ἐκπορευόμενον - ἀναγορεύων τρανώτατα. Ὧν μεγαληγόρως ἀναγνωσθέντων, οἱ συνεληλυθότες σεπτοὶ καὶ θεῖοι πατέρες, τὰς οἰκείας ἐπ᾽ ἀμφοτέροις γνώμας πιστοῦνται· καὶ σφῶν ὁ μὲν οὕτως ἔχουσαν τὴν αὐτοῦ προφέρει· - ἐν μηδεμιᾷ ἐννοίᾳ παραλλάττοντα καὶ τὰ νῦν ἀναγνωσθέντα γράμματα ἐκ τῆς ἀνατολῆς πεμφθέντα πρὸς Ταράσιον τὸν ἁγιώτατον ἀρχιεπίσκοπον καὶ οἰκουμενικὸν πατριάρχην, τοῦ ὑπ᾽ αὐτοῦ προομολογηθέντος ὅρου τῆς πίστεως, εὑρὼν, κἀγὼ ὁ ἀνάξιος τούτοις συντίθεμαι. Ὁ δὲ· καὶ ἀναγνωσθέντα γράμματα Ταρασίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τὰ ἀπὸ τῆς ἀνατολικῆς διοικήσεως παρὰ τῶν αὐτόθι ἀρχιερέων, τοιαύτην οἰκειότητα ἔχειν ἡγοῦμαι, ὥστε μηδεμίαν ἑτερότητα ἐν αὐτοῖς εἶναι, ἀλλὰ ταχεῖαν ταυτότητα, ὡς ἓν καὶ τὸ αὐτὸ ἄμφω εἶναι, ἤγουν πεπληρωμένα πάσης ὀρθοδοξίας.

ϞΖ΄.

Ἕτερος, οἷς ὁ τῆς εὐσεβείας μεμελέτηται τρόπος, τούτοις δήπου πάντως καὶ ὁ τῆς ὀρθοδοξίας διαλάμπεται λόγος· εἰκότως τοίνυν καὶ ἡ ἐμὴ βραχύτης τοῖς ἀναγνωσθεῖσιν ἱεροῖς καὶ συνοδικοῖς γράμμασι τοῦ ὁσιωτάτου καὶ μακαριωτάτου τῆς βασιλευούσης τῶν πόλεων ἀρχιπροέδρου, ἃ πρὸς τοὺς τῆς ἑῴας ἐξαπέστειλεν· ἔτι γε μὴν καὶ τοῖς παρ᾽ αὐτῶν ἀποστειλεῖσι πρὸς αὐτὸν νουνεχῶς, τὸ τῆς διανοίας ἐνερείσασα ὄμμα, κατὰ πάντα τῇ τῶν ἁγίων πατέρων συμφωνοῦντα ὀρθοδόξῳ πίστει, διὰ τῆς ἀναγνώσεως ἔγνων. Ἄλλος· σύμφωνα ὁρῶν τὰ συνοδικὰ γράμματα Ταρασίου τε τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τὰ ἀντίγραφα αὐτῶν τὰ ἀπὸ τῶν τῆς ἀνατολῆς ἀρχιερέων, συντίθεμαι αὐτοῖς. Ἕτερος· ὡς ἓν φρονοῦντες ἐληλύθαμεν, οὕτω καὶ ἓν λέγειν ἐδιδάχθημεν. Συμφώνων τοίνυν οὐσῶν τῶν ὑπαναγνωσθεισῶν συνοδικῶν κεραιῶν Ταρασίου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου τῶν σταλεισῶν παρ᾽ αὐτοῦ πρὸς τοὺς τῆς ἑῴας ἁγιωτάτους ἀρχιερεῖς καὶ τῶν ἀντιγράφων τῶν παρ᾽ αὐτῶν πρὸς αὐτὸν πεμφθέντων, πρὸς τὴν ἁγίαν καὶ ὀρθόδοξον πίστιν, τῶν ἓξ οἰκουμενικῶν συνόδων· οὕτω κἀγὼ πιστεύω. Οἱ δὲ λοιποὶ τῶν ὁσιωτάτων ἐπισκόπων ταῦτα ἐξεφώνησαν. - Πᾶσα ἡ κατὰ χάριν Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν καὶ φιλευσεβὲς θέσπισμα τῶν γαληνοτάτων καὶ ὀρθοδόξων ἡμῶν βασιλέων συναθροισθεῖσα ἁγία σύνοδος τὴν γενομένην ἀναφορὰν παρὰ Ἀδριάνου πάπα τῆς

πρεσβυτέρας Ῥώμης πρὸς τοὺς ὀρθοδοξοτάτους ἡμῶν βασιλεῖς, καὶ τὸν νυνὶ ἀναγνωσθέντα χάρτην, ὅρον ὀρθοδοξίας τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ πατριάρχου Ταρασίου ὄντα, καὶ τὰ ἀπὸ τῆς ἀνατολῆς πεμφθέντα πρὸς τὴν αὐτοῦ μακαριότητα παρὰ τῶν ἀρχιερέων γράμματα, στοιχοῦμεν καὶ ἀσπαζόμεθα.

ϙΗʹ.

Εἰ τοίνυν Ταράσιος ὁ θεόφρων κρίσει καὶ δοκιμασίᾳ τοσούτων θείων πατέρων δόγμα, τὸ ῥηθὲν νευρώσας ἐκράτυνε, καὶ παγκόσμιον ἔθεντο κήρυγμα θεοπνεύστως, εἴ γε ψήφισμα καὶ θέσπισμα συνελεύσεως οἰκουμενικῆς, οἱ δὲ νῦν οὕτως ἀνυποστόλως καὶ φωναῖς ἐγγράφοις ἀκυροῦσι, καὶ ἀνατρέπουσι, πῶς οὐχ ὑπὲρ αὐτοῦ τὸ ζῆν ἡμεῖς καθειργμένοι προήσομεν; Ὅταν δὲ καὶ Μάξιμον οὗτος εἰδὼς τὸν θεσπέσιον, ὃν καὶ πατέρα γινώσκει τῆς κατ' αὐτὸν ἅτε συνόδου παρ' αὐτῆς ὡς ἐξεφωνήθη καὶ τῇ ἕκτῃ σὺν λοιπαῖς ταῖς πρὸς ταύτης στηριζομένης, ὑπὲρ ἧς ἐκεῖνος ἤθλησεν, ἀπολογίας συστάσει Ῥωμαίων, ὡς πολλάκις ἔφημεν, ὑπερηγοροῦντα, καὶ τὸ ἐξ υἱοῦ ἐκπορευόμενον, ἀντὶ τοῦ διὰ τοῦ υἱοῦ τρανοῦντα καὶ σύμφωνον ταῖς χρήσεσι δεικνῦντα τῶν θεηγόρων· οὗτος τὸ – διὰ τοῦ υἱοῦ ἐκπορευόμενον, ὡς τῆς αὐτῆς διανοίας τῷ – ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι στεῤῥότατα κραταιοῖ, κἀντεῦθεν καὶ τὴν δηλωθεῖσαν ὑπερηγορίαν, τούτου μὴ ἀφισταμένην παρίστησιν, τὴν μανίαν προαναστέλλων τῶν ταραχαῖς ἐπιγανυμένων καὶ σχίσμασιν. Οἱ νέοι δὲ ζηλωταὶ μήτ' ἐκείνου τὸ παράπαν ἐπιστροφὴν ποιοῦνται, καὶ τόνδε μετὰ πολλῆς ἀπωθοῦνται παῤῥησίας ἀναφανδόν· πῶς οὐχ ὑπὲρ τούτων ἡμεῖς ἔτι μᾶλλον πάσχοντες ἀνεξόμεθα; Εἰς ποίαν δὲ καὶ οἱ καθέλκοντες ἡμᾶς βιαίως τῶν νεοφανῶν παραδόσεων ἐπὶ ταύτῃ δὴ τῇ θεολογίᾳ τῆς ἐκ πατρὸς δι' υἱοῦ τοῦ πνεύματος ἐκπορεύσεως, ὁδηγήσουσιν ἀσφαλῶς ἐδρασθῆναι, τὸ πολυειδὲς ἐχουσῶν καὶ ποικίλον καὶ ἀντικείμενον πρὸς ἀλλήλας πλέον, ἥπερ ἐσχήκασιν αἱ ἐκ διαμέτρου κακίαι, τῆς ὀρθῶς φερομένης μεσότητος πόῤῥω πίπτουσαι, τὴν τοῦ Μουζάλωνος, ἢ τὴν τοῦ Κυπρίου, ἢ τὴν τοῦ Μοσχάμπερ, ἢ τινος τῶν λοιπῶν, ὅσαις ὑπῆρξε σημᾶναι γραφαῖς, περὶ τῶν τοιούτων.

ϙΘʹ.

Ἐπείπερ ὁ λόγος ἡμῖν, Μουζάλων μὲν γὰρ ὡς ἐπιτροχάδην διέλθοιμι, τὴν δι' υἱοῦ ἐκπόρευσιν ἐξηγούμενος, καὶ μὴ τὸν διάφορον τρόπον τῆς ὑπάρξεως, ἐντεῦθεν διευλογεῖσθαι παραδεχόμενος, τὸ ἥκειν τε καὶ διήκειν δηλοῦν ἀποφαίνεται· Κύπριος δὲ τὴν ἀΐδιον ἔκφανσιν. Ἀμφότεροι γοῦν ἐπὶ πολὺ συναινοῦντες, ἔν τε τῇ ἀναιρέσει τῆς οὐσιώδους ὑπάρξεως, καὶ τῷ ἐντεῦθεν ὀργανικὴν ἢ λειτουργικὴν χρείαν ἀναιδῶς τῷ υἱῷ προσάπτειν, διαλλάττουσι πρὸς μικρὸν ἐν τῷ μᾶλλον ἐκ τοῦ διήκειν τὴν ἀτοπίαν ἐκφαίνεσθαι. Καίτοιγε καὶ ἑκάτερα φθάσαντες ὡς ἐνταυθοῖ καὶ ἀλλαχοῦ δεδηλώκαμεν. Τοῦτο δὴ τὸ διήκειν τε καὶ ἡ ἔκφανσις ὡς εἴληπται τοῖς πατράσιν ἐκλαμβανόμενα, συνιστῶσιν, οὔμενουν ἀναιροῦσι τὸ παρ' αὐτοῖς ἀναιρούμενον. Ὁ δέ γε λοιπὸς τῶν ὀνομασθέντων, ἀμφοτέραις ὄψεσιν, ἀμφοῖν ὁρᾶται μαχόμενος· καὶ τὴν μὲν ἐκπόρευσιν, εἰς τὴν παραδεδομένην τοῖς θεολήπτοις δέχεται διασάφησιν, καὶ τὴν ὕπαρξιν ἀνομολογεῖ, τὴν δὲ Διὰ μεταμείβων εἰς τὴν Μετὰ, τοῦτον τὸν τρόπον τηρεῖσθαι νομοθετεῖ, ὡς τὸ δι' υἱοῦ ἐκπορευόμενον πνεῦμα, μετὰ τοῦ υἱοῦ ἐκπορευόμενον λέγεσθαι· καὶ περιττὸν φάσκειν περὶ αὐτῶν τὸ καταφανὲς κεκτημένων, ὡς κἀκεῖνα δὴ τὰ κατάκρως σφίσιν ἐξ ἐναντίας, ὅπηπερ ἀνοδίαν ἀπάγοιντο θάτερος ἐπὶ τούτοις ὁ τὴν ὕπαρξιν καὶ οὕτως ἀνακηρύττων, καὶ οὐδὲ τὴν Διὰ μεθιστῶν· οὐ μὴν τὸ τῆς ἀληθείας εἰλικρινὲς ὁλοκλήρως ἐθέλων ἐρεῖν, ὥσπερ εἰ δεδιὼς μὴ τοῦτο φάμενος ἐπὶ τῇ τῶν ἐκκλησιῶν εἰρήνῃ συγκροτῶν φανείη, κἀντεῦθεν ἀπόβλητος

νομισθείη, καὶ παρὰ τοῦτο συγχέων, οἷς τὴν τοῦ πνεύματος ὕπαρξιν δι' υἱοῦ καταγγέλλων, ἐπιφέρει τὸ ἐκφαντορικῶς ταύτην ἄντικρυς δι' υἱοῦ φανεροῦσθαι λέγων καὶ τὴν ὀργανικὴν διαδιδράσκειν ἔνθεν ἔμφασιν μὴ δυνάμενος.

Ρ'.

Καί, ὡς παραδράμοιμι τῆς ἑτέρας καὶ τῶν καθέκαστα, ἐπὶ ταῖς ῥηθείσαις παράδοσις, ἡ τὸ ἀνεξήγητον διαταττομένη, καὶ μηδὲν ἐννοεῖν ἐπὶ τῇ δι' υἱοῦ ἐκπορεύσει παρακελευομένη μετὰ σφοδρότητος· ἀλλὰ δέχεσθαι ταύτην, ὡς τὰς φιλοσόφοις διηγορευμένας φωνὰς ἀσημάντους ἀκούομεν, καὶ κορυφαία πασῶν αὖθις, ἡ προσεχῶς ἡμῖν ἐμφανισθεῖσα, καὶ ταύτας ἄρδην ὅλας ἀνασκευάζουσα, καὶ μηδὲν οὔσας ἐλέγχουσα τό, ἐφ' ᾧ προήχθησαν ἅτε περιττὸν ἀποκαλοῦσα, καὶ ἥκιστα τῇ τρανώσει τῆς ἐκ πατρὸς τοῦ πνεύματος ἐκπορεύσεως, συνέρχομενον, ἀλλ' ἀποπεμπόμενον.

ΡΑ'.

Περὶ ἧς, ὡς προβήσεται, τῷ προτέρῳ μοι τῶν λόγων ἐν ταῖς καταρχὰς καθ' ἡμῶν ἐκείναις κινήσεσι προειρήκαμεν, οὐχ' ὡς προβλεπτικοί τινες, ἀλλ' ὡς ὁρῶντες ἐναργῶς ὅπη λήξει τὸ τῆς μανίας τῶν οὕτω διακειμένων ὑπερβάλλον καὶ ἀκρατές. Καὶ ὁ βουλόμενος εὑρήσει κείμενον ἐκεῖ τηλαυγῶς, οἷον δὲ κἀκεῖνο τῆς ἀκαθέκτου σφῶν ὁρμῆς παραστατικόν, ὡς εἴποιμέν τι καὶ τῶν ἀγράφων· ἐπεὶ τὰς ἐγγράφους καὶ καθολικωτέρους διὰ βραχέων ἀπηριθμήσαμεν, συγκαταλεξάμενοι ταύταις καὶ τὴν τὸ ἀνερμήνευτον ὑποτιθεμένην, ὡς ἐπὶ δικαστηρίου φωνηθεῖσαν ἰσχυροτάτως· καὶ τῶνδε μὴ ἀποδέουσαν· ὅ τῶν τις, τῷ Κυπρίῳ σχεδιασθέντων νεοχειροτονήτων καὶ ὑψιθρόνων, πολλῶν ἐνώπιον εἴρηκεν. Οὗτος καὶ γὰρ ἡνίκα τόμος ὁ ἐκείνου, καὶ παρὰ τῶν σφετέρων διέγνωσται καὶ κατέγνωσται κατεχθέντος ἐπὶ τούτῳ τοῦ θρόνου, καὶ αὐτὸς εἷς ὢν τῶν εἰς ἔλεγχον τοῦ τοιούτου κεκινημένων ἐνίων ὁποία φιλεῖ γίνεσθαι λόγοις ἐμπεπτωκότων, οἷς τόνδε τομογραφῆσαι λίαν ἐπισφαλῶς ἀπεφάνθη· ἐπὶ τῇ καθ' ἣν αἱ διάφοροι διειλειμμέναι νομοθεσίαι ῥήσει δογματικῇ.

ΡΒ'.

Καὶ περὶ ταύτης ζήτησιν ποιουμένων, φᾶναι προάγεται παῤῥησίᾳ τὸν Βέκκον λέγειν τὸ ἀληθές· καὶ εἰ μὴ Λατίνων ἀφορῶν πρὸς βοήθειαν λέξαι προεθυμήθη, τοῦτ' ἂν ἐστέρξαμεν, καὶ οὐχ' ἕτερον. Καὶ ὁ μὲν πολὺς τὴν θεολογίαν πατήρ, καὶ τὴν ἐξ αὐτῆς κλῆσιν ἐξαιρέτως ἰδιωσάμενος καθάπτεται διαφερόντως ἀγανακτῶν, τῶν μὴ τῷ λόγῳ μαχομένων· ἀλλὰ τοῖς λέγουσι, τὴν κακίαν εἰκότως οὐ τὸν φωνοῦντα προτρεπόμενος ἀπωθεῖσθαι, τοῦτον ἐπεὶ καὶ ἀσπασμοῦ τῶν δεόντων οἶδεν ἀξιωθῆναι, προσήκασθαι δ' ἐκείνην οὐδέποτε. Οἱ νῦν δὲ θερμοὶ τὸν ζῆλον τοῖς λέγουσι μᾶλλον σπουδὴν ποιούμενοι διαμάχεσθαι, καὶ οἷς συνελαυνόμενοι καθομολογοῦσιν, ἀντιβαίνειν τῷ λόγῳ μὴ ἔχοντες καὶ τούτῳ δι' ἐκείνους ἀντιφέρεσθαι κατεπείγονται.

ΡΓ'.

Καὶ ποῦ τοῖς ἄρτι πάλιν Ἱερεμίας τοῖς πράγμασιν ὁ μόνος ἐξισοῦν εἰδὼς δάκρυα· τέως ἐκ τῶν ἀγράφων καὶ ταύτην ἑνιαίαν περαθέντες θεσμοθεσίαν; τὴν οὕτως ἔχειν δόγμα τὸ πατρικὸν παριστῶσαν, παρὰ δὲ τὸν σκοπὸν τῶν ἐπὶ τοῦ μέσου παραγαγόντων, ἀθετεῖσθαι παρακελευομένην· ὡς τὸν λόγον αὖθις ἐπαναλάβοιμεν, εἰς τίνα διερωτῶμεν τῶν πολυπληθῶν παραδόσεων τῶνδε, καὶ πρὸς ἀλλήλας ἀνθισταμένων, ἰθυνοῦσιν ἡμᾶς ἐμβιβάσαντες οἱ βιάζοντες; ἐροῦσι καθὰ κἂν τῇ μυστικωτέρᾳ διαλέξει, τῇ πρὸ χρόνων οὐ πλείστων ἐφώνουν, εὐλογώτατα λέγειν οἰόμενοι, ὡς παρεαθεισῶν ἁπασῶν ἑτέρων, εἰς αὐτὴν ἀγάγωσι πάντως τὴν τὸ ἀνεξήγητον ἐπιτάττουσαν.

ΡΔ΄.

Καὶ πρῶτα μὲν πῶς ἐκείνας, καὶ τοὺς ἐκθεμένους καταλείπωσιν ἀνευθύνους, οἱ πῦρ ζήλου πνέοντες ἀτεχνῶς, κἀντεῦθεν ἐν τοῖς καθ' ἡμᾶς, τοσαῦτα κατὰ ἱερῶν καὶ ἱερέων ὅσα συνοίδασιν ἐργασάμενοι· οὐ γὰρ ὅπερ ἐν τῇ σφετέρᾳ φήσουσιν ἔτι καὶ τοῖς λοιποῖς καλῶς αὐτὰς ἔχειν καὶ παρορᾶσθαι καὶ τὸ ἀντικεῖσθαι κεκτημένας περίοπτον. Εἶτα δὲ καὶ εἰ ταῦτα περειδόντες παραδέξασθαι βουληθείημεν, καὶ οὕτω πέλαγος ἡμῖν ἀπορίας ἠνέῳκται παρὰ τῆς πολλῷ μεταγενεστέρας ἀναφανείσης προσεχοῦς διαγνώσεως, τῆς οὐ τὴν διάνοιαν μόνον ἀφαιρουμένης, ἀλλὰ καὶ τὰς ἐξ ὧν αὐτὴ φωνὰς τὸ σφῶν ἅπαν, ὅσα περιττὸν ὑπάρχειν ἀποφαινομένη· καὶ μὴ δοχῆς ἄξιον λογιζομένοις ὡς ὁ στέργων ταύτην καὶ συνιστῶν, ὁ ἐπὶ τοῦ πρώτου θρόνου τυγχάνει φαινόμενος· ὃς ἡμᾶς εἰς δίκην ἄξει καὶ οὕτω, καὶ οὐδὲν ὀνήσει τὸ προσηκαμένους ὅλως τὴν ῥῆσιν, προβάλλεσθαι μηδένα νοῦν ἐπ' αὐτῇ λέγειν, ἀλλὰ συλλαβὰς ἀσημάντους προφέρειν· τούτου καὶ κατὰ λέξιν ἀποσκευαζομένου τήνδε τὸ τέλεον, κἀκεῖνο τιθεμένοις οὐχ' ἧττον ἐν διανοίᾳ, σχεδὸν ἐκ τοσῶνδε τῶν καθ' ἑκάστην· τὸ καὶ ἄλλους ἐφεξῆς, τοὺς θεσμούς, ἐπ' αὐτῇ τῶν προτέρων ἀναιρετικοὺς δώσοντας ἐποφθήσεσθαι· κἀντεῦθεν ἡμᾶς κἀκείνοις ὑποδίκους γενήσεσθαι· ὅθεν καὶ τούτων ἔτι μᾶλλον ῥωσθέντες, τοῖς θεοφορήτοις ἐξ ἀνάγκης ὑπακούειν καθωδηγήθημεν, καὶ τῶν μὲν ὁλοσχερῶς ἐν φωναῖς τε καὶ σημασίᾳ τὴν περὶ ἣν ὁ λόγος, θεηγορίαν ἀνατρεπόντων τοὺς τῆς οἰκουμενικῆς ἑβδόμης συνόδου θείους πατέρας προκρίνειν στέρξαντας ἀριδήλως, ἐπ' αὐτῇ τε κυρώσαντας, οἷς οὗτοι κυροῦσιν ἀπεναντίας φανότατα· τῶν δὲ προτεινόντων τὴν ἀσαφήνιστον (?) τούτους αὐτοὺς αὖθις τε τοὺς θεοειδεῖς, καὶ τοὺς κατ' αὐτούς, καθαρῶς καὶ ἀδιαστόλως διηρμενευκότας, διάφορον τρόπον ὑπάρξεως τὴν ἐκπόρευσιν, τῶν τε λοιπῶν ὡσαύτως τῶν διαταγὰς οἰκείας ἐπὶ ταύτῃ φανέντων παραδοῦναι καὶ τῶν φανησομένων εἰς ἔπειτα κἀπὶ τῇδε τῇ προκρίσει, καὶ τὰς ἐπενεχθείσας καταδίκας καὶ παρούσας φέρειν εἱλόμεθα, καὶ καθυπενεγκεῖν ἔτι παρεσκευάσμεθα· καὶ εἰ μέλλουσιν ἕτεραι καὶ ταύτῃ πεποίθαμεν συνθανεῖν καὶ μετ' αὐτῆς τῷ φοβερῷ καὶ ἀδεκάστῳ βήματι παραστήσεσθαι.

ΡΕ΄.

Νῦν δὲ βραχύ φημι πρὸς ἡμᾶς τοὺς μὴ μόνον, ὅθεν ἀπροσδοκήτως οἷον ὀφθησομένους ἀκροατὰς εὐγνώμονας τῶν παρόντων λόγων, ὡς λόγου παιδείας μετόχους, ἀλλὰ καὶ λοιποὺς ὁμοφύλους ἡμῖν, καὶ ὁμοεθνεῖς, ἐμβλέψατε μόλις καὶ πρὸς ἡμᾶς. Προσέχετε χρονίως καὶ οἷς ἡμεῖς φαμὲν ἐνιστάμενοι, καὶ ὑπὲρ ὧν πάσχομεν ὀψέ ποτε βασανίσατε καὶ μὴ οἷς ὑμῖν συμβέβηκε προκατειλῆφθαι δι' ὅλου στοιχοῦντας, καὶ οἷς οἱ δοξαμανίᾳ προστετηκότες βοᾶν ἀπατηλῶς οὐκ ἀφίστανται τὰ πρὸ ὀφθαλμῶν παρατρέχετε. Τηρήσατε συνετῶς ἅπερ ἐνταυθοῖ παρεθέμεθα. Εἰ μὴ οὕτως ἔχουσιν ἐπὶ τῶν πραγμάτων, ἃ ῥάδιον ὅλοις ἡμῖν καθορᾶν, εἰ καί τισι καὶ μὴ πᾶσι τὸ πρὸς τοὺς δογματικοὺς εἴδησιν κεκτῆσθαι λόγους καὶ πατρικούς, ἐφ' ὧν γοῦν οὐδαμῶς τοῦ γιγνώσκειν στέρησις ἡμῶν οὐδενί, κατίδετε λίαν ἠκριβωμένως, εἰ μὴ προηγουμένως, ὅπερ ἐν μέσοις ἐκεῖνος πανδήμοις μονονοῦ δικαστηρίοις ὁ ποιμὴν ἡμῶν καὶ τοῦ θεοῦ ἀληθὴς ἱεράρχης λελάληκε παῤῥησίᾳ, μὴ σπουδῇ τῆς καθ' ἡμῶν κακίας οἱ ἐξεναντίας αἵρεσιν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ φυτεύσωσι. Σκοπήσατε μνήμην ἀναλαβόντες, εἰ μὴ ἐκβέβηκεν ἐναργῶς; εἰ καὶ ἀπεφάνθη, εἰ μὴ τῷ περιέχοντι ταύτην τόμῳ καθυπογράψαντες καθωμολόγησαν ἐμφανῶς, ἐξ αὐτῶν ἔνιοι καὶ τῆς τῶν ἀπεῤῥευξαμένων χειροθεσίας ὄντες ἐπὶ ποιμανσίᾳ πλαστούργημα.

Ρϛ'.

Ἔτι γε μὴν ἀθρήσατε νουνεχῶς, εἰ μὴ παρὰ θεοῦ ξενοτρόπως ὄντως δεδικαιώμεθα, οἱ μηδαμῶς ἔχοντες μηδένα τὸν μεθ' ἡμῶν καὶ τοῦ καθ' ἡμῶν λειπόμενοι μηδενός· καὶ οὐ δικαίωσιν λέγω τὴν ἐν βαθμοῖς τε καὶ τοῖς τοιούτοις· πόῤῥω γὰρ ἡμῶν φροντίς· ἀλλ' οἷς τὸ ἐντὸς ἀναφθέντες, ἐξ ὧν ἦν ἀκούειν τοῖς περὶ θεοῦ λόγοις λαλῆσαι προήχθημεν· ἔπειτα σκέψασθε καθεξῆς· εἰ μὴ ἀπορίας ἐκδήλου τὸ τὰς δογματικὰς ῥήσεις τῶν πατέρων ἀσημάντους εἶναι λέγειν, καὶ μή τινα τὸ παράπαν ἔχειν νοῦν ἀποφαίνεσθαι· κἀκ τῆσδε τῆς εὐπρεποῦς διαγνωμοσύνης, ἑαυτοὺς μέν, ἐφ' οἷς ἠλέγχθησαν δικαιοῦν, ἡμᾶς δὲ κατακρίνειν ἀπέραντα. Θεάσασθε καθαρῶς εἰ μὴ ἐντεῦθεν, ὡς ταῖς θεοῤῥημοσύναις τῶν θείων ἀναδείκνυται διδασκάλων, οὕτω δὴ καὶ τοῖς ἐπ' αὐταῖς ἀποφανθεῖσι τοῦ θεοῦ δικαιώμασιν ἀνθιστάμενοι, προσέτι τὰ τοῦ σχίσματος ἀναδραμόντες, ἐξ οἵων ἀρχῶν, ἐξ οἵων αἰτιῶν ἐπεισέφρησε. Θεωρήσατε τὰ τῶν διὰ μέσου περιφανῶν καὶ μεγακλεῶν ἀνάκτων, ὅπως ἀναπαλαῖσαι τοῦτο περὶ πλείστου πεποίηντο· τὰ τῶν σοφῶν ἐπὶ τούτους ἀρχιερέων· τὰ τῶν περιόπτων ἑτέρων ἀνδρῶν, ἐξ ὧν ἀμυδρῶς ἐνεχαράξαμεν ἀνωτέρω. Πολυπραγμοσύνῃ ταῦτα δοῦναι συχνῇ διανάστητε, μεθ' ἧς καὶ τὰ νῦν αὖθις ἀναλογίσασθε, εἰ μὴ καὶ σφίσιν ἐναντία, καὶ λόγοις αὐτοῖς τοῖς περὶ θεοῦ καὶ πράξεσιν ἐναργέσιν ἐπιεικῶς, ὁποῖοι πρὸ τῆς διαστάσεως ὑμεῖς ἀναμνήσθητε τὰ τῆς ἐπικρατείας ἡμῶν ὅπῃ παρετείνετο τῷ νοΐ περιλάβετε, τῶν σύνεγγυς τῇ ταύτης παραφθορᾷ πνεύματι κινουμένων ἀνδρῶν ἀκροάσασθε, πατριαρχικαῖς κλεϊζομένων μεγαλειότησι, καὶ βαρυαλγῶς τηνικαῦτα φερόντων τὰ κατ' αὐτήν· κἂν τῇδε περιγραφόντων μεγαλοφώνως, τὸ, μὴ τὰ ἡμῶν ὡς ἐπίπαν εὐοδοῦσθαι στρατεύματα, καίπερ ὧν αὐτοθεάμονες ἐγεγόνεισαν οὗτοι δεινῶν, καπνοί τινες ἦσαν τοῦ καταλαβόντος ἐξῆς τὴν καθ' ἡμᾶς οἰκουμένην πυρὸς, ἢ σπινθῆρες, οἷόν τινος τῆς μελλούσης μετέπειτα φλογὸς προεξάλματα, ταῦτα πάρεισιν ὑμῖν εἰδέναι πραγματικῶς, καὶ πολλῷ πλείω τῶνδε καὶ προσέτι πεπλατυσμένως· ἃ καί ποτε βραδέως κατεξετάσατε.

ΡΖ'.

Καὶ διάγνωτε εἰ καλῶς τὰ τετελεσμένα τε καὶ τελούμενα· ἡμεῖς δὲ μαρτυρόμεθα τὸν παντεφόρον ὀφθαλμόν, ὡς καὶ τόθ' ἡνίκα, μὴ κακῶς ἔχειν ἐδοκοῦμεν ἀλλ' εὐθετεῖν, μυρίαις ἦμεν προπαλαίοντες δυσχερείαις, κινδύνοις, οὐχ' ὅπως ἐν τῷ διαπρεσβεύεσθαι, θαλαττίοις, εἰς ᾅδου πέταυρον ἤδη παραδιδοῦσι, καὶ μή τι χρηστῆς ἐλπίδος ἴχνος ἐμφαίνουσιν, ἀλλὰ κἂν τῇ χέρσῳ θανατηφόροις ἀλγεινοῖς ἥλικοις ἐν τῷ μακραῖς ὁδοιπορίαις ἐμπίπτειν, ἃς κἂν τοῖς ἀνέκαθεν χρόνοις ὀλίγοις τῶν τῆς καθ' ἡμᾶς φυλῆς ἐξεγένετο διελθεῖν, ἢ οὐδ' ὀλίγοις καὶ διαμέσων ξίφῳ ἐπανατεινομένων ἡμῖν διϊέναι, καὶ βελῶν ἐπαφιεμένων ὁμόροις ἐκ προσβολῆς συγκρατουμένων ἐκεῖσε καθ' ἑκάστην πολέμων, καὶ τούτοις, εἴποτε καταπεσεῖν εἰς ἀθυμίαν ἡμῖν ἐπῆλθεν, ἐπανήγομεν ἑαυτούς, ὡς ὑπὲρ τῶν ὁμογενῶν ὑμῶν ἀγαθῇ συνειδήσει προδήλως, ἐπὶ κατὰ θεὸν ἔργῳ ταδὶ πάσχοντας· καὶ νῦν οἷς ἐσμὲν περιστοιχιζόμενοι, δεδοίκαμεν οὐχ' ἧττον ὑπὲρ ὑμῶν ὃ δῆτα καὶ ἀπευχόμεθα, μὴ οὐκ εἰς καλὸν ἀποβαίῃ τὰ σφοδρῶς οὕτως ἐπ' αὐξήσει τῆς ταραχῆς καὶ τοῦ ῥήγματος κατασπουδασθέντα καὶ εἰσέτι μᾶλλον ἀνενδότως κατεπειγόμενα.

ΡΗ'.

Καὶ ταῦτα πάντα, οὐκ ἐφ' ἡμῖν τοσοῦτον ὅσον ἐπὶ τοῖς τέκνοις καὶ τοῖς ἀπογόνοις καὶ τοῖς ὀψιγόνοις ὑμῶν. Ἐπεὶ καὶ οἱ πρώτως συστησάμενοι τὰ τοῦ σχίσματος, ἃ καὶ τῷ χρόνῳ κραταιωθέντα, πρὸς τὰ νῦν ἐπ' αὐτῷ πεπραγμένα, ποταμὸς βραχὺς ὁρᾶται πρὸς θάλατταν, οὐκ ἐκεῖνοι· σφῶν δὲ μακρὰν οἱ ἐκ τῆς ὀσφύος τῶν ἐπικαρπιῶν

ἐπειράθησαν, καὶ οἱ πατέρες ἡμῶν τὰ τῶν οἰκείων πατέρων ἀνήγγειλαν ἡμῖν ἐν οὐ μικρᾷ ταύτης τῆς πείρας γεγονότων αἰσθήσει· τοῦδε γὰρ τοῦ ἐδάφους ἐκ προγόνων ἡμεῖς αὐτόχθονες καὶ ἐγχώριοι, καὶ παίδων ἡμᾶς ὑπερδειμαίνειν. εἰ φαίη τις καὶ ἀπεύχεσθαι, προσεχῶς ὡς δεδήλωται· καὶ τοῦτο πάντως οὐκ ἀπὸ λόγου· πλὴν ἀλλὰ κἀκεῖνο παραδραμεῖν αὐτὸν ἥκιστα τῶν εἰκότων, ὡς ἀκοῇ μόνῃ ψιλῇ τέκνων ἡμεῖς πατέρες καὶ οὐμενοῦν πείρᾳ καὶ θεωρίᾳ τὸ σύνολον, τούτοις οὐκοῦν τῷ λόγῳ πέρας ὡς ἐπιθείην, οὕτως αὐτοὶ καὶ πρὶν καὶ νῦν οἱ εὐτελεῖς καὶ σμικροὶ πρὸς ἅπαν ὑπὲρ ὑμῶν καὶ γνώμῃ καὶ προθέσει καὶ διανοίᾳ καθαρᾷ τυγχάνομεν διακείμενοι, πρὸς ἃ τὸ συχνοὺς ἀντιλαμβάνειν ἐξουθενισμοὺς καὶ λοιδορισμούς, εἰ καὶ αὖθις γ' ἔσται, τῶνδε καθὰ τὸ πρότερον ἐσόμεθα, μὴ ἐπιστρεφόμενοι, τοῦ συνειδότος, ἅτε τοῖς τε τοῦ ὑπὲρ ὑμᾶς θείοις ἐπὶ τῇ ὑποθέσει λόγοις, τοῖς τε καθ' ἡμᾶς ἀνθρωπίνοις, ἐφεδραζομένους βάσεων ἀῤῥαγέσιν, ὡς δέδεικται.

ΤΕΛΟΣ.